Ἀδελφέ, ἐπειδὴ δὲν εἶσαι γυμνασμένος στοὺς πολέμους τοῦ ἐχθροῦ, χορηγεῖ ἐναντίον σου λογισμοὺς δειλίας καὶ ἀκηδίας καὶ πορνείας. Στάσου λοιπὸν ἀπέναντι σ' αὐτοὺς μὲ στερεὴ τὴν καρδιά· διότι καὶ οἱ ἀθλητές, ἐὰν δὲν ἀγωνισθοῦν, δὲν στεφανώνονται· καὶ οἱ στρατιῶτες, ἐὰν δὲν δείξουν ἀνδρεία στοὺς πολέμους τοῦ βασιλιᾶ, δὲν δοξάζονται· ὅπως ἦταν ὁ Δαβίδ. Δὲν ψάλλεις ἐσύ, «δοκίμασέ με, Κύριε, καὶ πείραξέ με· φλόγισε τὰ νεφρά μου καὶ τὴν καρδιά μου»[40]; Καὶ πάλι δὲν ψάλλεις, «ἐὰν παραταχθεῖ στράτευμα ἐναντίον μου, δὲν θὰ φοβηθεῖ ἡ καρδιά μου· ἐὰν σηκωθεῖ πόλεμος ἐναντίον μου, ἐγὼ ἐλπίζω σ' αὐτή»[41]; Καὶ γιὰ τὴ δειλία, «καὶ ἐὰν ἀκόμη βαδίσω στὴ μέση τῆς σκιᾶς τοῦ θανάτου, δὲν θὰ φοβηθῶ τὰ κακά, διότι ἐσὺ εἶσαι μαζί μου»[42]. Γιὰ τὴν ἀκηδία, «ἐὰν ἀνεβεῖ ἐπάνω σου τὸ πνεῦμα τοῦ ἐξουσιαστῆ, νὰ μὴ ἀφήσεις τὸν τόπο σου»[43]. Δὲν θέλεις νὰ γίνεις δόκιμος; Διότι ὁ ἄπειρος ἄνθρωπος εἶναι ἀδόκιμος· οἱ πόλεμοι κάνουν τὸν ἄνθρωπο νὰ εἶναι δόκιμος. Αὐτὴ εἶναι ἡ ἐργασία τοῦ μοναχοῦ, τὸ νὰ ὑπομένει πολέμους καὶ νὰ ἀντιστέκεται μὲ ἀνδρεία καρδιᾶς.

Ἐπειδὴ ὅμως ἐσὺ ἀγνοεῖς τὶς μεθόδους τους, σοῦ στέλλει λογισμοὺς δειλίας καὶ παραλύει τὴν καρδιά σου. Ὀφείλεις ὅμως νὰ μάθεις, ὅτι ὁ Θεὸς δὲν ἐπιτρέπει πόλεμο καὶ πειρασμὸ ἐναντίον σου περισσότερο ἀπὸ τὴ δύναμή σου. Καὶ ὁ Ἀπόστολος σὲ διδάσκει μὲ τὰ λόγια, «ὁ Θεὸς εἶναι ἀξιόπιστος καὶ δὲν θὰ σᾶς ἀφήσει νὰ πειραχθεῖτε περισσότερο ἀπὸ ὅσο μπορεῖ-

42. Ψαλμ. 22,4.

δύνασθε». Πολλάκις κἀγώ, ἀδελφέ, ἐν τῇ νεότητί μου ἐπειράσθην σφοδρῶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας καὶ ἐκοπίων πυκτεύων πρὸς τοὺς λογισμοὺς καὶ ἀντιλέγων καὶ τούτοις μὴ συγκατατιθέμενος, ἀλλὰ προτιθεὶς τὰς αἰωνίους κολάσεις πρὸ ὀφθαλμῶν μου. Καὶ οὕτω καθ' ἑκάστην ποιοῦντά με, διὰ πέντε ἐνιαυτῶν, ἐκούφισέ με ὁ Θεὸς ἀπ' αὐτῶν. Τὸ πρᾶγμα δὲ τοῦτο καταργεῖ εὐχὴ ἀδιάλειπτος μετὰ κλαυθμοῦ.

Τὸ δὲ πνίξαι σε, ἀπὸ φθόνου ποιοῦσιν οἱ δαίμονες· καὶ εἰ δυνατὸν ἦν αὐτοῖς καὶ τοῦ κελλίου σου ἀπεδίωκον, ἀλλ' οὐ συγχωρεῖ αὐτοῖς ὁ Θεός, ἵνα κυριεύσωσί σου· οὐδὲ γὰρ ἔχουσιν ἐξουσίαν. Ἠδύνατο γὰρ ὁ Θεὸς κουφίσαι σε διὰ τάχους, ἀλλ' οὐχ ἵστασο οὐδὲ πρὸς ἄλλο πάθος.

Σὺ οὖν μὴ χαυνωθῇς ὑπὸ τῶν δαιμόνων προσέχειν αὐτῷ ἢ λαλεῖν μετ' αὐτοῦ· ἀλλὰ κἂν φθάσῃς μὴ θέλων ἀπαντῆσαι αὐτῷ, ἕλκυσον τὸ βλέμμα σου ἀπ' αὐτοῦ μετὰ φόβου καὶ καταστάσεως καὶ μὴ ἀπολύσῃς τὴν ἀκοήν σου πρὸς τὴν ἐκείνου φωνήν. Εἰ δὲ καὶ ὁ αὐτὸς ἀδελφὸς ἀφ' ἑαυτοῦ ἀγνοῶν λαλήσοι σοι ἢ καθίσοι παρὰ σοί, μετὰ τέχνης ἀπόστα σεμνῶς μὴ ἀποπηδῶν. Καὶ εἰπέ σου τῷ λογισμῷ, 'μνήσθητι τῆς κρίσεως τοῦ Θεοῦ τῆς φοβερᾶς καὶ τῆς αἰσχύνης τῶν πραττόντων τὰ ἄτοπα', καὶ πύκτευσόν σου τὸν λογισμὸν καὶ εὑρίσκεις βοήθειαν εὐχαῖς ἁγίων καὶ ἐλεεῖ σε ὁ Θεός. Μὴ παιδίον ἔσο ταῖς φρεσί, «ἀλλὰ τῇ κακίᾳ νηπίαζε, ταῖς δὲ φρεσὶ τέλειος ἔσο».

Ἀδελφέ, πρόσεχε σεαυτῷ, πῶς μέλλεις ἀπαντήσειν τῷ Θεῷ.

ΣΝΘ'

Ὁ αὐτὸς παρεκάλεσε τὸν αὐτὸν μέγαν Γέροντα λέγων.

---

43. Ἐκκλ. 10, 4.
44. Α' Κορ. 10,13.

τε»[44]. Καὶ ἐγὼ πολλὲς φορές, ἀδελφέ, στὰ νειάτα μου πειράχθηκα σφοδρῶς ἀπὸ τὸν δαίμονα τῆς πορνείας καὶ κοπίαζα παλεύοντας πρὸς τοὺς λογισμοὺς καὶ ἀντιλέγοντας καὶ ἀρνούμενος νὰ συγκατατεθῶ σ' αὐτούς, ἀλλὰ θέτοντας μπροστὰ στὰ μάτια μου τὶς αἰώνιες κολάσεις καὶ κάνοντας τὸ ἴδιο πρᾶγμα κάθε μέρα ἐπὶ πέντε χρόνια, μὲ ἀνακούφισε ὁ Θεὸς ἀπὸ αὐτούς. Τὸ πρᾶγμα αὐτὸ τὸ καταργεῖ ἡ ἀδιάλειπτη προσευχὴ μαζὶ μὲ τὸν κλαυθμό.

Τὸ νὰ θέλουν νὰ σὲ πνίξουν οἱ δαίμονες τὸ κάνουν ἀπὸ φθόνο· καὶ ἐὰν τοὺς ἦταν δυνατὸ θὰ σὲ ἔδιωχναν καὶ ἀπὸ τὸ κελλί σου, ἀλλὰ ὁ Θεὸς δὲν τοὺς ἐπιτρέπει νὰ σὲ κατακυριεύσουν· διότι δὲν ἔχουν ἐξουσία. Ὁ Θεὸς μποροῦσε νὰ σὲ ἀνακουφίσει γρήγορα, ἀλλὰ δὲν θὰ ἀντιστεκόσουν οὔτε μπροστὰ σὲ ἄλλο πάθος.

Ἐσὺ λοιπὸν μὴ χαυνωθεῖς ἀπὸ τοὺς δαίμονες, ὥστε νὰ προσέχεις ἐκεῖνο τὸ πρόσωπο ἢ νὰ μιλᾶς μ' ἐκεῖνο· ἀλλὰ καὶ ἐὰν τὸν συναντήσεις χωρὶς νὰ τὸ θέλεις, τράβηξε ἀπ' αὐτὸ τὸ βλέμμα σου μὲ φόβο καὶ εὐπρέπεια καὶ μὴ ἀφήσεις τὴν ἀκοή σου πρὸς τὴν φωνὴ ἐκείνου. Ἐὰν ὅμως καὶ ὁ ἴδιος ὁ ἀδελφὸς ἀγνοώντας τὸ πρᾶγμα σοῦ μιλήσει ἢ καθήσει κοντά σου, μὲ τέχνη ἀπομακρύνσου σεμνὰ χωρὶς νὰ τρέχεις. Καὶ πὲς στὸν λογισμό σου, 'θυμήσου τὴ φοβερὴ κρίση τοῦ Θεοῦ καὶ τὴ ντροπὴ αὐτῶν ποὺ ἐνεργοῦν τὰ ἄτοπα' καὶ πολέμησε τὸν λογισμό σου καὶ θὰ βρεῖς βοήθεια μὲ τὶς εὐχὲς τῶν ἁγίων καὶ θὰ σὲ ἐλεήσει ὁ Θεός. Νὰ μὴ εἶσαι παιδὶ στὸ μυαλό, «ἀλλὰ νὰ νηπιάζεις ὡς πρὸς τὴν κακία, στὸ μυαλὸ ὅμως νὰ εἶσαι τέλειος»[45].

Ἀδελφέ, πρόσεχε τὸν ἑαυτό σου, πῶς πρόκειται νὰ συναντήσεις τὸ Θεό.

259

Ὁ ἴδιος παρακάλεσε τὸν ἴδιο μεγάλο Γέροντα λέγοντας.

45. Α' Κορ. 14,20.

Εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, ὅτι ταλαίπωρός εἰμι ἐν πᾶσι καὶ χρήζω πολλῆς φιλανθρωπίας· καὶ λογισμοὶ ἐν ἐμοὶ σπείρονται, λέγοντες· 'ἄπελθε ἐπὶ ξένης κἀκεῖ σώζῃ'· καὶ ἵνα ὁ Θεὸς διὰ τῶν εὐχῶν ὑμῶν μὴ ἐάσῃ αὐτοὺς κατακυριεῦσαι μου.

Ἀπόκρισις

Αδελφέ, ἐπικατάρατός ἐστιν ὁ σπείρας ἐπὶ τὴν καρδίαν σου τοὺς τοιούτους λογισμούς, ἕνεκα τῆς παραβάσεως τῶν ἐντολῶν τῆς ἀπὸ τοῦ τόπου τούτου, ὅστις ἐστὶν ὁ διάβολος· διὰ γὰρ δικαιώματος ἐργάζεταί σοι ταῦτα, ἵνα, χλευάσας, ποιήσῃ σε σκάνδαλον πολλῶν· ὥστε βαστάσαι τούτων τὸ κρῖμα. Ταῦτα δὲ πάσχεις ἀπὸ ἀμελείας καὶ κενοδοξίας. Ἰδοὺ λέγεις, 'ἐπὶ ξένης ἀπέλθω, βαστάζω ἀτιμίαν'· καὶ πῶς μόνον ἀκούσαντός σου, ὅτι εἶπεν ὁ ἀδελφός σου κατὰ σοῦ λογον ταράττεται ἡ καρδία σου καὶ οὐ θέλεις, ἵνα τις μάθῃ ὅτι ἐσφάλης; Ἀλλὰ σὺν τῇ ἀμελείᾳ καὶ κενοδοξίαν ἐνεργοῦντές εἰσιν οἱ δαίμονες πρὸς τὸ ἐξολοθρεῦσαί σου τὴν ψυχήν.

Πληροφορήθητι ἐν Κυρίῳ, ὅτι, εἰ μὴ ἡ χεὶρ τοῦ Θεοῦ ἦν καὶ αἱ εὐχαὶ τῶν ἐνταῦθα γνησίων δούλων τοῦ Θεοῦ, ἐπιμεῖναι ἐν τῷ μοναστηρίῳ ἐνιαυτὸν ὁλόκληρον οὐκ ἠδύνω, ἀλλ' ὡς τυφλὸς μὴ βλέπων, οὕτως οὐ βλέπεις τὴν εὐεργεσίαν τοῦ Θεοῦ, ἣν ἐποίησέ σοι καὶ ποιεῖ δι' εὐχῶν τῶν ἁγίων καὶ τοῦ μακαρίου Ἀβραμίου, τοῦ εἰπόντος σοὶ καὶ τῷ ἀδελφῷ σου, ὅτι, 'ἐὰν ἐπιμείνητε ἐν τῷ τόπῳ τούτῳ, ἔχετέ μοι πρεσβευτήν'. Ἀδελφέ, πρόσεχε σεαυτῷ μετὰ ἀσφαλείας καὶ πύκτευσον μετὰ τῶν λογισμῶν μὴ ἀμελῆσαι, μηδὲ κενοδοξῆσαι, μηδὲ τὸ θέλημά σου στῆσαι ἔν τινι· καὶ μὴ δέξασθαι τοὺς σπειρομένους λογισμοὺς διὰ δικαιωμάτων, ἐπεὶ εἰς πτῶσιν πίπτεις μεγάλην.

Πάτερ, προσευχήσου γιὰ μένα, διότι εἶμαι ταλαίπωρος σὲ ὅλα καὶ χρειάζομαι πολλὴ φιλανθρωπία· σπέρνονται μέσα μου λογισμοὶ λέγοντας· 'πήγαινε σὲ ξένη γῆ καὶ ἐκεῖ θὰ σωθεῖς'. Καὶ προσευχήσου γιὰ νὰ μὴ ἀφήσει ὁ Θεὸς μὲ τὶς προσευχές σας νὰ μὲ κατακυριεύσουν.

Ἀπόκριση

Ἀδελφέ, αὐτὸς ποὺ ἔσπειρε στὴν καρδιά σου αὐτοὺς τοὺς λογισμοὺς εἶναι ἐπικατάρατος[46], ἐξαιτίας τῆς παραβάσεως τῶν ἐντολῶν μὲ τὴν ἀπομάκρυνση ἀπὸ τὸν τόπο αὐτό· αὐτὸς εἶναι ὁ διάβολος· διότι σοῦ ἐνεργεῖ αὐτὰ τὰ πράγματα μὲ σκοπό, χλευάζοντάς σε, νὰ σὲ κάνει σκάνδαλο πολλῶν, καὶ νὰ βαστάξεις τὸ κρίμα αὐτῶν. Αὐτὰ ὅμως τὰ παθαίνεις ἀπὸ ἀμέλεια καὶ κενοδοξία. Νά, λέγεις, θὰ ἀπομακρυνθῶ σὲ ξένη γῆ, γιὰ νὰ βαστάξω τὴν ἀτιμία. Καὶ πῶς μόνον ποὺ ἄκουσες, ὅτι ὁ ἀδελφὸς σοῦ εἶπε ἐναντίον σου λόγο, ταράζεται ἡ καρδιά σου καὶ δὲν θέλεις νὰ μάθει κανεὶς ὅτι ἔσφαλες; Ἀλλὰ οἱ δαίμονες μαζὶ μὲ τὴν ἀμέλεια ἐνεργοῦν καὶ κενοδοξία, γιὰ νὰ ἐξολοθρεύσουν τὴν ψυχή σου.

Βεβαιώσου στὸ ὄνομα τοῦ Κυρίου ὅτι, ἐὰν δὲν ἦταν τὸ χέρι τοῦ Θεοῦ καὶ οἱ προσευχές τῶν ἐδῶ γνήσιων δούλων τοῦ Θεοῦ, δὲν θὰ μποροῦσες νὰ μείνεις στὸ μοναστήρι ὁλόκληρο χρόνο· ἀλλὰ ἐσὺ σὰν τυφλὸς ποὺ δὲν βλέπει, δὲν βλέπεις τὴν εὐεργεσία τοῦ Θεοῦ ποὺ σοῦ ἔκαμε καὶ σοῦ κάμνει μὲ τὶς προσευχὲς τῶν ἁγίων καὶ τοῦ μακαρίου Ἀβραμίου, ποὺ εἶπε σὲ σένα καὶ στὸν ἀδελφό σου, 'ἐὰν παραμείνετε σ' αὐτὸν τὸν τόπο, θὰ μὲ ἔχετε πρεσβευτή'. Ἀδελφέ, πρόσεχε τὸν ἑαυτό σου μὲ ἀσφάλεια καὶ ἀγωνίσου μὲ τοὺς λογισμούς, ὥστε νὰ μὴ ἀμελήσεις, οὔτε νὰ κενοδοξήσεις, οὔτε νὰ σταματήσεις τὸ θέλημά σου σὲ κάτι. Καὶ μὴ δεχθεῖς τοὺς λογισμοὺς ποὺ σπείρονται μὲ ἐντολές, διότι πέφτεις σὲ μεγάλη πτώση.

46. Γαλ. 3,10.

Πληροφορήθητι δέ, ὅτι ἔνθα ἂν ἀπέλθῃς, ἀπὸ τῶν περάτων τῆς γῆς μέχρι τῶν περάτων αὐτῆς, οὐ μὴ ὠφεληθῇς ἴσα τῶν ὧδε, καὶ ὡς ἄγκυρα τῷ πλοίῳ, οὕτως ἔσται σοι ἡ εὐχὴ τῶν ἐνταῦθα πατέρων. Κτῆσαι στυφότατα καὶ ἐξορίζει ἀπὸ σοῦ τὴν παρρησίαν τὴν φέρουσαν πάντα τὰ κακὰ ἐν τῷ ἀνθρώπῳ, καὶ ἀμερίμνησον ἀπὸ παντὸς πράγματος, καὶ τότε σχολάζεις τῷ Θεῷ. Καὶ ἀπόθανον ἀπὸ παντὸς ἀνθρώπου, καὶ αὕτη ἐστὶν ἡ ξενιτεία. Καὶ κράτει τὸ ἀψήφιστον, καὶ εὑρίσκεις τὸν λογισμόν σου ἀτάραχον. Καὶ μὴ ἔχε σεαυτόν τι ποιήσαντα ἀγαθόν, καὶ φυλάττεταί σοι σῷος ὁ μισθός. Καὶ ἐπὶ πᾶσι τούτοις, μνήσθητι, ὅτι οὐ χρονίζεις ἐν τῷ σώματι, καὶ σπούδασον εἰπεῖν μετὰ παρρησίας ἐν τῇ ὥρᾳ ἐκείνῃ, «ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην».

Ἀδελφέ, ἄνευ κόπου οὐκ ἔνι ζῆσαι· καὶ ἄνευ ἀγῶνος οὐδεὶς στεφανοῦται· πύκτευσον, σωθῆναι ἀγωνιζόμενος, καὶ βοηθεῖ σοι ὁ Θεός, «ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν».

Αὐτὸς ἐλεήσοι σε, τέκνον, μετὰ προθυμίας προσελθεῖν τῇ ἐργασίᾳ αὐτοῦ, ὅτι αὐτοῦ ἐστι τὸ ἔλεος καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΞ'

Τοῦ αὐτοῦ ἐρώτησις πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.

Πάτερ, τί ἐστιν ὃ εἶπας, ὅτι, 'οὐκ ἠδύνω ἐνιαυτὸν μεῖναι ἐν τῷ μοναστηρίῳ'; Καὶ εὖξαι ὑπὲρ ἐμοῦ διὰ τὸν Κύριον, ὅτι, ὡς καθεύδω, ἐπιπίπτει μοι ὁ δαίμων πνίγων με, καὶ χρείαν ἔχω τῆς παρὰ σοῦ φιλανθρωπίας.

Μάθε μὲ βεβαιότητα, ὅτι ὅπου κι ἂν πᾶς, ἀπὸ τὰ πέρατα τῆς γῆς μέχρι τὰ πέρατα αὐτῆς, δὲν θὰ ὠφεληθεῖς ὅσο ἐδῶ· ὅπως ἡ ἄγκυρα στὸ πλοῖο, ἔτσι θὰ εἶναι γιὰ σένα ἡ εὐχὴ τῶν ἐδῶ πατέρων. Ἀπόκτησε στυφότητα καὶ θὰ σοῦ διώξει τὴν παρρησία ποὺ φέρει στὸν ἄνθρωπο ὅλα τὰ κακά· ἀμερίμνησε ἀπὸ κάθε πρᾶγμα, καὶ τότε θ' ἀφοσιωθεῖς στὸ Θεό. Πέθανε γιὰ κάθε ἄνθρωπο καὶ αὐτὴ εἶναι ἡ ξενιτειά. Κράτα τὸ ἀψήφιστο, καὶ θὰ βρεῖς τὸν λογισμό σου ἀτάραχο. Μὴ θεωρεῖς τὸν ἑαυτό σου ὅτι ἔκανε κάτι καλό, καὶ θὰ φυλαχθεῖ σῶος ὁ μισθός σου. Καὶ μαζὶ μὲ ὅλα αὐτά, θυμήσου ὅτι δὲν χρονίζεις στὸ σῶμα καὶ φρόντισε νὰ πεῖς μὲ παρρησία ἐκείνη τὴν ὥρα, «ἑτοιμάσθηκα καὶ δὲν ταράχθηκα»[47].

Ἀδελφέ, δὲν εἶναι δυνατὸ νὰ ζήσει κανεὶς χωρὶς κόπο· χωρὶς ἀγώνα κανένας δὲν στεφανώνεται. Προσπάθησε νὰ σωθεῖς ἀγωνιζόμενος καὶ θὰ σὲ βοηθήσει ὁ Θεός, «ὁ ὁποῖος θέλει νὰ σωθοῦν ὅλοι οἱ ἄνθρωποι καὶ νὰ γνωρίσουν τὴν ἀλήθεια»[48].

Αὐτὸς εἴθε νὰ σὲ ἐλεήσει, τέκνο μου, ὥστε νὰ ἔρθεις μὲ προθυμία στὴν ἐργασία του· διότι τὸ ἔλεος καὶ ἡ δύναμη καὶ ἡ δόξα εἶναι δική του στοὺς αἰῶνες. Γένοιτο.

260

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Πάτερ, τί σημαίνει αὐτὸ ποὺ εἶπες, ὅτι, 'δὲν θὰ μποροῦσες νὰ μείνεις ἕνα χρόνο στὸ μοναστήρι'; Προσευχήσου γιὰ μένα γιὰ τὸν Κύριο· διότι ὅταν κοιμᾶμαι ὁ δαίμονας πέφτει ἐπάνω μου γιὰ νὰ μὲ πνίξει καὶ χρειάζομαι τὴ φιλανθρωπία σου.

---

47. Ψαλμ. 118,60.
48. Α' Τιμ. 2,4.

Ἀπόκρισις

Ὅτι εἶπον σοι, 'εἰ μὴ ἦσαν αἱ εὐχαὶ τῶν πατέρων, οὐκ ἐποίεις ἐν τῷ μοναστηρίῳ ἐνιαυτόν', περὶ μοναχῶν σοι εἶπον· οὐ γὰρ πάντες οἱ ἐν τοῖς μοναστηρίοις εἰσὶ μοναχοί, ἀλλ' ὁ ποιῶν τὸ ἔργον τοῦ μοναχοῦ. Φησὶ γὰρ ὅτι, «οὐ πᾶς ὁ λέγων μοι, Κύριε Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς».

Τί χλευάζῃ, ἀδελφέ, ταλαιπωρῶν; Ἐρωτᾷς γὰρ καὶ οὐκ ἐμμένεις· ἀλλὰ καὶ πάλιν ἐρωτῶν ἄλλοις, λέγεις κενοδοξῶν, ἀνθρωπαρεσκῶν, καὶ ἐμποδίζῃ διὰ τάχους προκόψαι· καὶ διὰ τοῦτο πειράζῃ κοιμώμενος, καὶ ἐπιπίπτει ἐπάνω σου πνίγων σε ὁ δαίμων· καὶ συγχωρεῖ ὁ Θεός, ἵνα παιδευθῇς, ὅπως μέμψῃ σεαυτὸν ὡς μοναχός. Καὶ οὐ συνιεῖς, ἀδελφέ· ὁ καιρὸς ἡμῶν ἐστι τὸ ἐρευνᾶν τὰ πάθη ἡμῶν, καὶ τὸ κλαῦσαι καὶ πενθῆσαι, καὶ ὡς κάθῃ εἰς τὸ κελλίον σου ρεμβόμενος, μέμψαι σεαυτὸν ἐν πᾶσι καὶ ρίψον τὴν ἀδυναμίαν σου ἐνώπιον τοῦ Θεοῦ, καὶ βοηθεῖ καὶ ἐνδυναμοῖ σε, ἵνα προκόψῃς ἐν αὐτῷ.

ΣΞΑ'

***Ἐρώτησις** τοῦ αὐτοῦ, καὶ αἴτησις εὐχῆς πρὸς τὸν ἄλλον γέροντα.*

Διὰ τὸν Κύριον εὖξαι ὑπὲρ ἐμοῦ, παρακαλῶ, ἵνα λυτρωθῶ ἐκ τῶν παθῶν τῆς ἀτιμίας καὶ κενοδοξίας, ὅτι μολύνει με ἐν ἑκάστῳ πράγματι, ὃ δοκῶ καλὸν ποιεῖν· καὶ τοῦτο δὲ παρακαλῶ εἰπεῖν μοι· ποίῳ σκοπῷ ὀφείλει τις

Ἀπόκριση

Ἐκεῖνο ποὺ σοῦ εἶπα, ὅτι 'ἐὰν δὲν ἦταν οἱ προσευχὲς τῶν πατέρων, δὲν θὰ ἔμενες στὸ μοναστήρι ἕνα χρόνο, τὸ εἶπα γιὰ τοὺς μοναχούς, διότι ὅλοι αὐτοὶ ποὺ βρίσκονται στὰ μοναστήρια δὲν εἶναι μοναχοί, ἀλλὰ μοναχὸς εἶναι ἐκεῖνος ποὺ κάνει τὸ ἔργο τοῦ μοναχοῦ. Διότι λέγει, «δὲν θὰ μπεῖ στὴ βασιλεία τῶν οὐρανῶν ὁ καθένας ποὺ μοῦ λέγει, Κύριε Κύριε, ἀλλὰ ἐκεῖνος ποὺ κάνει τὸ θέλημα τοῦ Πατρός μου ποὺ βρίσκεται στοὺς οὐρανούς»[49].

Γιατὶ χλευάζεσαι, ἀδελφέ, ταλαιπωρούμενος; Διότι ἐρωτᾶς καὶ δὲν τηρεῖς τὶς ἀποκρίσεις· ἀλλὰ καὶ πάλι ἐρωτᾶς ἄλλους ἀπὸ κενοδοξία καὶ ἀνθρωπαρέσκεια καὶ ἐμποδίζεσαι νὰ προκόψεις γρήγορα. Καὶ γι' αὐτὸ ὅταν κοιμᾶσαι πειράζεσαι καὶ πέφτει ἐπάνω σου ὁ δαίμονας ποὺ σὲ πνίγει· καὶ ὁ Θεὸς τὸ ἐπιτρέπει, γιὰ νὰ παιδευθεῖς, ὥστε νὰ μέμψεις τὸν ἑαυτό σου σὰν μοναχός. Καὶ δὲν κατανοεῖς, ἀδελφέ· ὁ καιρός μας εἶναι νὰ ἐρευνοῦμε τὰ πάθη μας καὶ νὰ κλαῖμε καὶ νὰ πενθοῦμε. Καθήμενος λοιπὸν στὸ κελλί σου καὶ ρεμβάζοντας νὰ κατακρίνεις τὸν ἑαυτό σου σὲ ὅλα καὶ νὰ ἀναθέσεις τὴν ἀδυναμία σου στὸ Θεὸ καὶ αὐτὸς θὰ σὲ βοηθήσει καὶ θὰ σὲ δυναμώσει νὰ προκόψεις σ' αὐτόν.

261

Ἐρώτηση καὶ παράκληση προσευχῆς τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Σὲ παρακαλῶ στὸ ὄνομα τοῦ Κυρίου νὰ προσεύχεσαι γιὰ μένα, γιὰ νὰ λυτρωθῶ ἀπὸ τὰ πάθη τῆς ἀτιμίας καὶ τῆς κενοδοξίας, διότι μὲ μολύνει σὲ κάθε πρᾶγμα τὸ ὁποῖο νομίζω ὅτι τὸ κάνω καλά. Σὲ παρακαλῶ ἐπίσης νὰ μοῦ πεῖς καὶ αὐτό· γιὰ ποιό σκοπὸ πρέπει νὰ κάνει κανεὶς τὰ

---

49. Ματθ. 7,21.

ποιεῖν τὰ μνημόσυνα τῶν ἁγίων; Καὶ πῶς τις ἐξεμεῖ ἣν ἔχει κακίαν;

***Ἀπόκρισις** Ἰωάννου.*

Εἰ λυτρωθῆναι θέλεις ἀπὸ τῶν παθῶν τῆς ἀτιμίας, κόψον ἀπὸ σοῦ τὴν παρρησίαν τὴν πρὸς πάντα ἄνθρωπον, μάλιστα πρὸς οὓς βλέπεις τὴν καρδίαν σου κλίνουσαν κατὰ πάθος ἐπιθυμίας· καὶ ἐν τούτῳ ἐλευθεροῦσαι καὶ ἀπὸ τῆς κενοδοξίας· κενοδοξία γὰρ συμμέτοχός ἐστι τῆς ἀνθρωπαρεσκείας· καὶ ἀνθρωπαρέσκεια συμμέτοχος τῆς παρρησίας· ἡ δὲ παρρησία μήτηρ ἐστὶ πάντων τῶν παθῶν.

Ὁ δὲ τὰ μνημόσυνα ποιῶν τῶν ἁγίων ἄνευ κενοδοξίας, λογιζόμενος ὅτι ἀπὸ Θεοῦ ποιεῖ καὶ οὐκ ἐκ τῶν ἰδίων, συμμέτοχος αὐτῶν γίνεται, καὶ τὸν μισθὸν λαμβάνει παρὰ τοῦ Δεσπότου αὐτῶν· ἡ φροντὶς δὲ τῆς σωτηρίας τῆς ψυχῆς καὶ ἡ ἀγάπη πρὸς τὸν Θεὸν ποιεῖ τινα ἐξεμέσαι ἣν ἔχει κακίαν, καὶ εἰλικρινῶς μετανοεῖν.

Ἄκουσον, τέκνον, καὶ ἐκ τῶν φαινομένων νόησον τὰ μὴ φαινόμενα· ὅταν τι πονῇς τοῦ σώματος, ἐγκρατεύῃ ἀπὸ τῶν βλαπτόντων σε πραγμάτων, καὶ τὴν ψυχήν σου πονῶν, οὐ πυκτεύεις ἐγκρατεύεσθαι; Κόπου καὶ πόνου χρεία πολλοῦ, ὡς ὁ Ἀπόστολος λέγει· «ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ». Ποίησόν σου τὴν δύναμιν, καὶ ὁ Θεὸς εὐχαῖς τῶν πατέρων σου συναντιλαμβάνεταί σου· διψᾷ γὰρ τὴν σωτηρίαν ἡμῶν ἰδεῖν ὁ εἰς ἑαυτὸν ὀμόσας, «μὴ θέλειν τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Πολλὴ δύναμις ἀνέρχεται ἐκ τοῦ τόπου τούτου ἀπὸ τῶν εὐχῶν τῶν γνησίων δούλων τοῦ Θεοῦ ὑπὲρ πάντων ἡμῶν, οὓς πιστεύω ὅτι οὐ καταισχύνει Κύριος.

Συνεισένεγκε αὐτοῖς τὰ δύο σου λεπτά, καὶ χαροποιεῖς αὐτὸν ὡς ἡ χήρα ἐκείνη, καὶ δῆσόν σου τὴν ὁλκάδα τῷ πλοίῳ τῶν

μνημόσυνα τῶν ἁγίων; Καὶ πῶς ἀποβάλλει κανεὶς τὴν κακία ποὺ ἔχει;

Ἀπόκριση Ἰωάννη.

Ἐὰν θέλεις νὰ λυτρωθεῖς ἀπὸ τὰ πάθη τῆς ἀτιμίας, κόψε ἀπὸ τὸν ἑαυτό σου τὴν παρρησία πρὸς κάθε ἄνθρωπο, καὶ κυρίως πρὸς ὅποιους βλέπεις νὰ κλίνει ἡ καρδιά σου μὲ τὸ πάθος τῆς ἐπιθυμίας, καὶ μ' αὐτὸ θὰ ἐλευθερωθεῖς καὶ ἀπὸ τὴν κενοδοξία. Διότι ἡ κενοδοξία εἶναι συμμέτοχος τῆς ἀνθρωπαρέσκειας, ἡ ἀνθρωπαρέσκεια συμμέτοχος τῆς παρρησίας, καὶ ἡ παρρησία εἶναι μητέρα ὅλων τῶν παθῶν.

Ἐκεῖνος ποὺ κάνει τὰ μνημόσυνα τῶν ἁγίων χωρὶς κενοδοξία, σκεπτόμενος ὅτι τὰ κάνει ἀπὸ τὰ τοῦ Θεοῦ καὶ ὄχι ἀπὸ τὰ δικά του, γίνεται συμμέτοχός τους, καὶ παίρνει τὴν ἀμοιβὴ ἀπὸ τὸν Δεσπότη τους. Ἡ φροντίδα γιὰ τὴ σωτηρία τῆς ψυχῆς καὶ ἡ ἀγάπη πρὸς τὸ Θεὸ κάνει κάποιον νὰ ἀποβάλει τὴν κακία ποὺ ἔχει καὶ νὰ μετανοήσει εἰλικρινά.

Ἄκουσε, τέκνο, καὶ ἀπὸ τὰ φαινόμενα κατανόησε τὰ μὴ φαινόμενα· ὅταν πονᾶς σὲ κάτι ἀπὸ τὸ σῶμα, ἐγκρατεύεσαι ἀπὸ τὰ πράγματα ποὺ σὲ βλάπτουν, ἐνῶ ὅταν πονᾶς στὴν ψυχή σου δὲν ἀγωνίζεσαι νὰ δείξεις ἐγκράτεια; Χρειάζεται πολὺς κόπος καὶ πόνος, ὅπως λέγει ὁ Ἀπόστολος· «ταλαιπωρῶ καὶ δουλαγωγῶ τὸ σῶμα»[50]. Βάλε τὰ δυνατά σου καὶ ὁ Θεὸς μὲ τὶς προσευχὲς τῶν πατέρων σου θὰ σὲ βοηθήσει· διότι διψᾶ νὰ δεῖ τὴ σωτηρία μας αὐτὸς ποὺ ὁρκίστηκε στὸν ἑαυτό του, «νὰ μὴ θέλει τὸ θάνατο τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὸ νὰ ἐπιστρέψει καὶ νὰ ζήσει»[51]. Πολλὴ δύναμη ἀνεβαίνει ἀπὸ αὐτὸν τὸν τόπο ἀπὸ τὶς προσευχὲς τῶν γνησίων δούλων τοῦ Θεοῦ γιὰ ὅλους ἐμᾶς, τοὺς ὁποίους πιστεύω ὅτι δὲν θὰ τοὺς καταντροπιάσει ὁ Κύριος.

Πρόσφερε μαζί μ' αὐτοὺς τὰ δύο σου λεπτά, καὶ θὰ τὸν χαροποιήσεις, ὅπως ἐκείνη ἡ χήρα, καὶ δέσε τὸ πλοιάριό σου στὸ

---

50. Α' Κορ. 9,27.

51. Ἰεζ. 33,11.

πατέρων σου, καὶ κυβερνῶσί σε πρὸς τὸν Ἰησοῦν, τὸν δυνάμενόν σοι ταπείνωσιν χαρίσασθαι, δύναμιν, σύνεσιν, στέφανον, ἀγαλλίασιν. Ἀμήν.

ΣΞΒ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν μέγαν Γέροντα.*

Ἐπειδὴ νεώτερός εἰμι καὶ ἄφρων καὶ ἔχω διακονίαν ὑπὲρ ἐμέ, παρακαλῶ σε, πάτερ, ἵνα αἰτήσῃς μοι σύνεσιν πρῶτον, ὥστε δύνασθαί με διδόναι πρᾶγμα κατὰ χρείαν αὐτοῦ, καὶ λόγον εἰπεῖν ἐν καιρῷ καὶ σιωπῆσαι· καὶ ἐν οἷς ἀμφιβάλλω, ἵνα ἐπικαλῶμαι τὸν Θεὸν καὶ τὰς εὐχάς σου, καὶ παρίστανταί μοι καὶ μὴ πλανῶμαι.

***Ἀπόκρισις** Βαρσανούφιου.*

Χαρά ἐστι μεγάλη τὸ αἰτεῖν τινα πρᾶγμα κατὰ φόβον Θεοῦ. Ὁ τοιοῦτος θαρρήσει, ὅτι γενήσεται αὐτοῦ ἡ αἴτησις. Ἀλλ' ἄκουσον, ἀδελφέ, εἰ σπέρμα αἰτεῖς τῷ ἀγρῷ σου, φιλοκάλησον αὐτὸν πρὸς τὴν ὑποδοχὴν τοῦ σπέρματος· περὶ γὰρ τῆς καλλίστης καὶ φιλοκαλημένης γῆς εἴρηται, ὅτι ἐποίησεν «ἀνὰ ἑκατόν», τὸ μὴ κωλῦσαι τὴν δύναμίν μου, ποιῆσαι καθὼς δύναμαι. Οὐ κωλύσω διὰ τὴν τοῦ Θεοῦ ἐντολήν, ἀλλ' ὁμολογῶ τὴν ἀσθένειάν μου, ὅτι οὐ δύναμαί σοι χαρίσαθαι τοῦτο, ἀνάξιος γάρ εἰμι. Ἀλλ', ἐὰν σὺ πιστεύσῃς, κατὰ τὴν πίστιν σου λαμβάνεις, οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ὅσων χρῄζεις· οἶδε γὰρ ὁ Θεὸς ὧν χρείαν ἔχεις πρὸ τοῦ αἰτῆσαί σε αὐτόν.

Μὴ διστάσῃς οὖν καὶ πιστεύω ὅτι ποιεῖ ὁ Θεός, οὐ δι' ἐμέ, ἀλλὰ διὰ τὴν σὴν πίστιν. Πρὸ πάντων ταπεινώθητι ἐνώπιον τοῦ

πλοῖο τῶν πατέρων σου, καὶ θὰ σὲ ὁδηγήσουν στὸν Ἰησοῦ, ποὺ μπορεῖ νὰ σοῦ χαρίσει ταπείνωση, δύναμη, σύνεση, στεφάνι, καὶ ἀγαλλίαση. Γένοιτο.

262

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Ἐπειδὴ εἶμαι νεώτερος καὶ ἄφρων καὶ ἔχω διακονία πάνω ἀπὸ τὶς δυνατότητές μου, σὲ παρακαλῶ, πάτερ, νὰ ζητήσεις πρῶτα γιὰ μένα σύνεση, ὥστε νὰ μπορῶ νὰ δώσω ἔργο ἀνάλογα μὲ τὴν ἀνάγκη του καὶ νὰ πῶ λόγο μὲ τὸν καιρὸ καὶ νὰ σιωπήσω· καὶ γιὰ ὅσα ἀμφιβάλλω νὰ ἐπικαλοῦμαι τὸ Θεὸ καὶ τὶς προσευχές σου καὶ νὰ μοῦ συμπαρίστανται καὶ νὰ μὴ πλανῶμαι.

Ἀπόκριση Βαρσανουφίου.

Εἶναι μεγάλη χαρὰ νὰ ζητεῖ κάποιος κάτι σύμφωνα μὲ τὸ φόβο τοῦ Θεοῦ. Αὐτὸς νὰ ἐλπίζει ὅτι θὰ ἐκπληρωθεῖ ἡ αἴτησή του. Ἀλλὰ ἄκουσε, ἀδελφέ, ἐὰν ζητᾶς σπέρμα γιὰ τὸν ἀγρό σου, καλλιέργησέ τον γιὰ τὴν ὑποδοχὴ τοῦ σπέρματος· διότι ἔχει λεχθεῖ γιὰ τὴν κάλλιστη καὶ πάρα πολὺ γόνιμη γῆ, ὅτι ἔκανε «ἀνὰ ἑκατό»[52], ὥστε νὰ μὴ ἐμποδίσει τὴ δύναμή μου, νὰ κάνω ὅ,τι μπορῶ. Δὲν θὰ ἐμποδίσω ἐξαιτίας τῆς ἐντολῆς τοῦ Θεοῦ, ἀλλὰ παραδέχομαι τὴν ἀσθένειά μου, ὅτι δὲν μπορῶ νὰ σοῦ χαρίσω αὐτό, διότι εἶμαι ἀνάξιος. Ἀλλά, ἐὰν ἐσὺ πιστέψεις, θὰ λάβεις σύμφωνα μὲ τὴν πίστη σου, ὄχι μόνο αὐτό, ἀλλὰ καὶ ὅσα ἄλλα χρειάζεσαι· διότι ὁ Θεὸς γνωρίζει αὐτὰ ποὺ χρειάζεσαι πρὶν τοῦ τὰ ζητήσεις.

Μὴ διστάσεις λοιπὸν καὶ πιστεύω ὅτι ὁ Θεὸς θὰ σοῦ τὰ κάνει, ὄχι ἐξαιτίας μου, ἀλλ' ἐξαιτίας τῆς δικῆς σου πίστεως. Πρὶν ἀπὸ ὅλα δεῖξε ταπείνωση ἐνώπιον τοῦ Θεοῦ, «διότι δίνει

---

52. Ματθ. 13,8.

Θεοῦ· «ταπεινοῖς γὰρ δίδωσι χάριν». Ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΞΓ'

Ὁ αὐτὸς ἠρώτησε τὸν ἄλλον γέροντα.

Πῶς χρήσομαι τῇ δυνάμει τῆς ἀποκρίσεως ταύτης τοῦ Γέροντος;

Ἀπόκρισις

Ἐὰν πῶς σε δεῖ χρήσασθαι τῇ δυνάμει τῆς ἀποκρίσεως ταύτης τοῦ Γέροντος θέλῃς μαθεῖν, οὕτως ἐστίν. Ὅταν θέλῃς λαλῆσαι ἢ πρᾶγμα ποιῆσαι, μιμνήσκου τὸ ὄνομα τοῦ Γέροντος, καὶ ὁ Θεὸς σπείρει ἐν τῇ καρδίᾳ σου τί ποιῆσαι χρὴ ἢ πῶς λαλῆσαι· ἀλλὰ μετὰ ταπεινώσεως, ἵνα μὴ ἀπολέσῃς τὴν χάριν ταύτην.

ΣΞΔ'

Τοῦ αὐτοῦ πρὸς τὸν μέγαν.

Ἐπεὶ ἐποίησας ἔλεος, πάτερ, μετὰ τῆς ἀσθενείας μου καὶ ἔδωκάς μοι, ἵνα, ἐν οἷς ἂν λέγω ἢ πράττω, ἐπικαλῶμαι τὸ ὄνομα τοῦ Θεοῦ καὶ τὰς εὐχάς σου καὶ κατευοδῶμαι, καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖν ἐπείγομαι ἢ λέγειν, καὶ συμβαίνει δὲ ὅτε ἐκ τῆς ἀμελείας μου ἐπιλανθάνομαι, παρακαλῶ, ἵνα αἰτήσῃς μοι παρὰ τοῦ Θεοῦ νῆψιν καὶ μὴ ἐάσῃς πλανᾶσθαι κατὰ τὸ θέλημά μου. Ἔτι δὲ παρακαλῶ ἐὰν ἐπικαλεσάμενος εἰς πρᾶγμα τὸν Θεὸν καὶ τὰς εὐχάς σου, ἔτι μείνω ἀμφιβάλλων ποιῆσαι ἢ μὴ ποιῆσαι, ἵνα εἴπῃς μοι πῶς ὀφείλω τελεῖν. Καὶ πάλιν, ἐὰν συμβῇ ἐρωτηθῆναι με πρᾶγμα καὶ πρὶν ἢ ἐπικαλέσωμαι τὸν Θεὸν ἢ ἐνθυ-

χάρη στοὺς ταπεινούς»[53], μὲ τὴ βοήθεια τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, στὸν ὁποῖο ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

263

Ὁ ἴδιος ἐρώτησε τὸν ἄλλο γέροντα.

Πῶς νὰ χρησιμοποιήσω τὸ νόημα αὐτῆς τῆς ἀπαντήσεως τοῦ Γέροντα.

Ἐὰν θέλεις νὰ μάθεις πῶς πρέπει νὰ χρησιμοποιήσεις τὸ νόημα αὐτῆς τῆς ἀπαντήσεως τοῦ Γέροντα, μπορεῖς ὡς ἑξῆς. Ὅταν θέλεις νὰ μιλήσεις ἢ νὰ κάνεις κάτι, θυμήσου τὸ ὄνομα τοῦ Γέροντα, καὶ ὁ Θεὸς θὰ σπείρει στὴν καρδιά σου τί πρέπει νὰ κάνεις ἢ πῶς νὰ μιλήσεις· ἀλλὰ μὲ ταπείνωση, γιὰ νὰ μὴ χάσεις αὐτὴ τὴ χάρη.

264

Τοῦ ἰδίου πρὸς τὸν μεγάλο.

Ἐπειδή, πάτερ, ἔδειξες ἔλεος στὴν ἀσθένειά μου καὶ μοῦ ἐπέτρεψες σὲ ὅσα λέγω ἢ κάνω νὰ ἐπικαλοῦμαι τὸ ὄνομα τοῦ Θεοῦ καὶ τὶς προσευχές σου καὶ ἔτσι θὰ προοδεύσω, καὶ βιάζομαι νὰ ἐνεργῶ ἢ νὰ λέγω σύμφωνα μὲ τὸ θέλημά του, καὶ συμβαίνει ἀπὸ δική μου ἀμέλεια νὰ ξεχνῶ, παρακαλῶ νὰ ζητήσεις γιὰ μένα ἀπὸ τὸ Θεὸ νήψη καὶ νὰ μὴ μὲ ἀφήσεις νὰ πλανιέμαι κατὰ τὸ θέλημά μου. Ἐπίσης σὲ παρακαλῶ, ὅταν ἐπικαλεσθῶ σὲ κάτι τὸ Θεὸ καὶ τὶς προσευχές σου, καὶ ἔχω ἀκόμα ἀμφιβολίες νὰ τὸ κάνω ἢ νὰ μὴ τὸ κάνω, νὰ μοῦ πεῖς πῶς ὀφείλω νὰ πράξω· καὶ πάλι, ἐὰν συμβεῖ νὰ ἐρωτηθῶ γιὰ κάτι πρὶν ἐπικαλεσθῶ τὸ Θεὸ ἢ

53. Ἰακ. 4,6.

μηθῶ τί εἴπω, εἰ ὁ ἐρωτήσας εὐθέως ζητεῖ τὴν ἀπόκρισιν, οὕτως αἰφνιδιαζόμενος, τί ποιήσω; Καὶ περὶ τῶν ὀφθαλμῶν παρακαλῶ εὖξαι ἐξουσιάσαι με αὐτῶν, ὅτι πολλὰ ρέμβονται.

Ἀπόκρισις

Ἐὰν λάβῃ τις ἐντολὴν ἢ γνώμην ἢ ἀπόκρισιν τῶν πατέρων περὶ πράγματος, καὶ ἀπὸ λήθης ἢ ἀμελείας ληθαργήσῃ, εἰδὼς ὅτι ἐσφάλη, μετανοησάτω καὶ συγχωρεῖ αὐτῷ ὁ Θεός. Τί δὲ ἔγραψας, ἀδελφέ, περὶ τῆς νήψεως μόνης; Ἐγὼ περὶ παντὸς δωρήματος ἀγαθοῦ δέομαι, ἵνα χαρίσηταί σοι ὁ Θεός, καὶ ἵνα μετὰ σοῦ ᾖ εἰς τὸν αἰῶνα. Ἐὰν συμβῇ σοι πρᾶγμα ποιεῖν ἐπικαλεσαμένῳ τὸν Θεὸν καὶ τὰς εὐχὰς τῶν ἁγίων καὶ ἀμφιβάλλῃς ἀκμήν, ποίησον αὐτό, θέλημα γὰρ Θεοῦ ἐστι, δι' ὃ προεπεκαλέσω αὐτόν.

Περὶ δὲ τοῦ αἰφνιδιασθῆναι ἀποκρίνεσθαι ἐρωτώμενον, οὐδὲν ὀξύτερον τοῦ νοῦ· πέμψον αὐτὸν πρὸς τὸν Θεὸν καὶ δίδωσί σοι τί ἀποκρίνῃ ἀταράχως. Ἡ ταπείνωσις φυλάττει ἀπὸ ρεμβασμοῦ τοὺς ὀφθαλμοὺς καὶ ὅλον τὸν ἄνθρωπον ἀπὸ παντὸς κακοῦ καὶ ἔστι τῶν μεγάλων δωρημάτων, ὧν εἶπόν σοι, αἰτῶ σοι, ἐὰν καὶ σὺ ποιῇς τὴν δύναμίν σου.

Πρόσεχε σεαυτῷ καὶ οὐ μόνον οἱ ἅγιοι, ἀλλὰ καὶ αὐτὸς ὁ Θεὸς δώσει σοι τὴν χεῖρα καὶ ποιεῖ τὸ ἔλεος αὐτοῦ μετὰ σοῦ.

ΣΞΕ'

***Αἴτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Δέομαί σου, πάτερ εὐσπλαγχνικώτατε, βλέπεις τὴν τυφλότητα τῆς ψυχῆς μου· πάλιν παρακαλῶ σε αἴτησαί μοι φωτισμὸν ἐν τῇ καρδίᾳ μου, δύνασθαι διακρίνειν τὸν ὀρθὸν λογισμὸν ἀπὸ τοῦ κεκρυμμένου σκολιοῦ, ὅτι φοβοῦμαι πιστεῦσαι αὐτῷ. Οἶδα γὰρ πολλάκις ὅτι οὐ βλέπω τὸ

σκεφθῶ τί θὰ πῶ σὲ περίπτωση ποὺ αὐτὸς ποὺ ἐρώτησε ζητᾶ ἀμέσως τὴν ἀπάντηση, αἰφνιδιαζόμενος ἔτσι, τί νὰ κάνω; Καὶ σὲ παρακαλῶ νὰ προσεύχεσαι γιὰ τὰ μάτια μου, γιὰ νὰ τὰ ἐξουσιάσω, διότι πολὺ ρεμβάζουν.

Ἀπόκριση

Ἐὰν κανεὶς πάρει ἐντολὴ ἢ γνώμη ἢ ἀπάντηση τῶν πατέρων γιὰ ἕνα πρᾶγμα καὶ ἀπὸ λησμοσύνη ἢ ἀμέλεια τὸ λησμονήσει, ἀφοῦ καταλάβει ὅτι ἔσφαλε, νὰ μετανοήσει, καὶ ὁ Θεὸς θὰ τὸν συγχωρήσει. Γιατί ὅμως, ἀδελφέ, ἔγραψες μόνο γιὰ τὴ νήψη; Ἐγὼ παρακαλῶ γιὰ κάθε καλὸ δώρημα νὰ σοῦ τὸ χαρίσει ὁ Θεὸς καὶ νὰ σοῦ μείνει στὸν αἰώνα. Ἐὰν σοῦ συμβεῖ νὰ κάνεις κάτι, ἀφοῦ ἐπικαλεσθεῖς τὸ Θεὸ καὶ τὶς προσευχὲς τῶν ἁγίων καὶ ἀμφιβάλλεις ἀκόμα, νὰ τὸ κάνεις, διότι εἶναι θέλημα Θεοῦ, καὶ γι' αὐτὸ τὸν ἐπικαλέσθηκες πρίν.

Σχετικὰ μὲ τὸν αἰφνιδιασμό, ἐὰν ἐρωτηθεῖς νὰ ἀπαντήσεις ἀμέσως, τίποτε δὲν εἶναι ὀξύτερο τοῦ νοῦ, στεῖλε τον στὸ Θεὸ καὶ θὰ σοῦ δώσει τί νὰ ἀπαντήσεις ἀτάραχα. Ἡ ταπείνωση φυλάγει τὰ μάτια ἀπὸ τὸν ρεμβασμὸ καὶ ὅλο τὸν ἄνθρωπο ἀπὸ κάθε κακὸ καὶ εἶναι ἀπὸ τὰ μεγάλα δωρήματα, τὰ ὁποῖα σοῦ εἶπα ὅτι ζητῶ γιὰ σένα, ἐὰν ἐνεργεῖς καὶ ἐσὺ κατὰ δύναμη.

Πρόσεχε τὸν ἑαυτό σου καὶ ὄχι μόνο οἱ ἅγιοι, ἀλλὰ καὶ ὁ ἴδιος ὁ Θεὸς θὰ σοῦ δώσει χέρι βοήθειας καὶ θὰ χαρίσει τὸ ἔλεός του σὲ σένα.

265

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Σὲ παρακαλῶ, εὐσπλαγχνικώτατε πάτερ, βλέπεις τὴν τυφλότητα τῆς ψυχῆς μου· σὲ παρακαλῶ πάλι νὰ ζητήσεις γιὰ μένα φωτισμὸ στὴν καρδιά μου, γιὰ νὰ μπορῶ νὰ διακρίνω τὸν σωστὸ λογισμὸ ἀπὸ τὸν διεστραμμένο ποὺ εἶναι κρυφός, διότι φοβᾶμαι νὰ πιστέψω σ' αὐτόν. Διότι

πρᾶγμα κατὰ πάθος δοῦναί τινι καὶ ἐδοκίμαζον τὸν λογισμόν, εἰ ἡδέως ἔχει τὸ πρᾶγμα δοθῆναι δι' ἄλλου καὶ μὴ γνωσθῆναι, ὅτι ἐγὼ ἔδωκα αὐτῷ καὶ οὐχ ἡδέως εἶχε. Συμβαίνει δὲ πάλιν, ὅτι κατὰ μὲν πάθος οὐ δοκῶ ἄρξασθαι τόδε ποιεῖν ἢ λέγειν· ἐν δὲ τῷ μεταξὺ ὡς δίδωμι ἢ λέγω, συνήδεται ὁ λογισμός μου. Τί οὖν ποιήσω ὁ ταλαίπωρος; Καὶ ἄλλῳ δὲ τρόπῳ θλίβει με ἡ ἐνέργεια αὕτη, μᾶλλον δὲ ἡ καρδία μου ἡ φιλόδοξος· συμβαίνει γὰρ ὅτε λαλοῦσί μοί τινες περὶ πράγματος, καὶ πρὶν αὐτὸ πληρώσωσιν, συντίθεται αὐτοῖς καὶ συνήδεται ὡς νοήμων ὁ λογισμός μου. Δέομαί σου, πάτερ, εὖξαι δοθῆναί μοι δύναμιν τοῦ σιωπᾶν. Θαυμάζω γάρ, πῶς οἶδεν ἡ καρδία μου ὅτι οὐδέν εἰσι ταῦτα, ἀλλὰ καὶ κενοποιοῦσι τὸν ἄνθρωπον ἀπὸ παντὸς ἀγαθοῦ, καὶ συνήδεται αὐτοῖς.

***Ἀπόκρισις** Βαρσανουφίου.*

Ἄνευ κόπου καρδίας οὐκ ἔρχεταί τινι διακρῖναι τοὺς λογισμούς. Ἐγὼ οὖν δέομαι τοῦ Θεοῦ δοῦναί σοι τοῦτο· πονέσει καὶ ἡ καρδία σου μικρὸν καὶ δώσει ὁ Θεός. Καὶ περὶ ὅλων τούτων τὸ ὅμοιόν ἐστι. Ὅταν χαρίσηταί σοι ὁ Θεὸς τὸ χάρισμα τοῦτο, ἀεὶ διακρίνεις διὰ τοῦ Πνεύματος αὐτοῦ εὐχαῖς ἁγίων καὶ πόνῳ τῆς καρδίας σου τοὺς λογισμοὺς ἀπ' ἀλλήλων. Ὅταν δὲ βλέπῃς πρᾶγμα φέρον σοι νόημα, σιώπα, καθὼς καὶ παρὰ τοῦ κατὰ Θεὸν υἱοῦ μου γνησίου ἤκουσας, οὐ ὀφείλεις ἀκοῦσαι περὶ παντὸς λογισμοῦ σου· οὐ γὰρ ἀφ' ἑαυτοῦ λαλεῖ σοι, ἀλλ' εἴ τι χαρίζεται αὐτῷ ὁ Θεὸς πρὸς ὠφέλειαν ἑκάστου.

Ὁ Θεὸς σκεπάσοι σε καὶ δώῃ σοι δύναμιν τοῦ σιωπᾶν ἐν πᾶσι, καὶ χάριν τοῦ εἰδέναι πότε χρεία ἐστι σοι λαλῆσαι ἄνευ

πολλὲς φορὲς γνωρίζω ὅτι δὲν εἶναι σωστὸ νὰ δώσω τό πρᾶγμα μὲ τὸ πάθος σὲ κάποιον καὶ ἐξέταζα τὸν λογισμό, ἐὰν εἶναι εὐχάριστο νὰ δοθεῖ τὸ πρᾶγμα μὲ ἄλλον καὶ νὰ μὴ γίνει γνωστό, ἀφοῦ ἐγὼ τὸ ἔδωσα σ' αὐτὸν καὶ δὲν ἦταν εὐχαριστημένος. Συμβαίνει πάλι, ὅτι κατὰ τὸ πάθος βέβαια δὲν θεωρῶ καλὸ ν' ἀρχίσω νὰ κάνω ἢ νὰ λέγω αὐτό· ἐν τῷ μεταξὺ ὅμως ὅταν δίνω ἢ λέγω εὐχαριστιέται ὁ λογισμός μου. Τί νὰ κάνω ὁ ταλαίπωρος; Αὐτὴ ἡ ἐνέργεια ἢ καλύτερα ἡ φιλόδοξη καρδιά μου, μὲ θλίβει καὶ μὲ ἄλλο τρόπο. Διότι συμβαίνει, ὅταν μοῦ μιλοῦν κάποιοι γιὰ ἕνα πρᾶγμα, καὶ πρὶν τὸ ὁλοκληρώσουν, ὁ νοητὸς λογισμός μου συμφωνεῖ μ' αὐτοὺς καὶ εὐχαριστιέται. Σὲ παρακαλῶ, πάτερ, νὰ προσευχηθεῖς, γιὰ νὰ μοῦ δοθεῖ δύναμη, ὥστε νὰ σιωπῶ. Διότι ἀπορῶ, πῶς, ἐνῶ γνωρίζει ἡ καρδιά μου ὅτι αὐτὰ δὲν εἶναι τίποτε, ἀλλὰ καὶ ὅτι κάνουν τὸν ἄνθρωπο κενὸ ἀπὸ κάθε καλό, εὐχαριστιέται μ' αὐτά.

Ἀπόκριση Βαρσανουφίου.

Χωρὶς κόπο καρδιᾶς δὲν μπορεῖ νὰ διακρίνει κανεὶς τοὺς λογισμούς. Ἐγὼ λοιπὸν παρακαλῶ τὸ Θεὸ νὰ σοῦ τὸ δώσει αὐτό· θὰ πονέσει λίγο καὶ ἡ καρδιά σου καὶ θὰ σοῦ τὸ δώσει ὁ Θεός. Καὶ γιὰ ὅλα αὐτὰ τὰ πράγματα ἰσχύει τὸ ἴδιο. Ὅταν ὁ Θεὸς σοῦ χαρίσει αὐτὸ τὸ χάρισμα, θὰ διακρίνεις πάντοτε διὰ τοῦ Πνεύματός του, μὲ τὶς προσευχὲς τῶν ἁγίων καὶ μὲ τὸν κόπο τῆς καρδιᾶς σου τοὺς λογισμοὺς τὸν ἕνα ἀπὸ τὸν ἄλλο. Ὅταν βλέπεις κάτι νὰ σοῦ φέρνει νόημα, νὰ σιωπᾶς, ὅπως ἄκουσες καὶ ἀπὸ τὸν γνήσιο κατὰ Θεὸ υἱό μου, τὸν ὁποῖο ὀφείλεις νὰ ἀκοῦς γιὰ κάθε λογισμό· διότι δὲν σοῦ μιλᾶ ἀπὸ μόνος του ἀλλὰ ἀπὸ ὅσα τοῦ χαρίζει ὁ Θεὸς πρὸς ὠφέλεια τοῦ καθενός.

Εἴθε ὁ Θεὸς νὰ σὲ προστατεύσει καὶ νὰ σοῦ δώσει δύναμη νὰ σιωπᾶς σὲ ὅλα, καὶ χάρη γιὰ νὰ γνωρίζεις, πότε πρέπει νὰ μιλᾶς χωρὶς πάθος· διότι ἡ καρδιά σου δὲν γνωρίζει τέλεια ὅτι

πάθους· οὐ γὰρ τελείως οἶδεν ἡ καρδία σου ὅτι κοινοῦσι τὸν ἄνθρωπον· ἐπεὶ οὐκ εἶχεν ἐᾶσαι ἡδυνθῆναί σε τούτοις.

ΣΞΣΤ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Τὰ σπλάγχνα τῶν οἰκτιρμῶν ὧν ἔχεις ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ, ποιοῦσί με πάλιν ἀναιδεύεσθαι καὶ ὀχλεῖν σοι. Φώτισόν με οὖν πῶς κοπιάσει ἡ καρδία μου, περὶ τοῦ ἐλθεῖν ἐν αὐτῇ τὴν διάκρισιν. Καὶ περὶ τῆς ἀδιαλείπτου μνήμης, ἐὰν ἀξιώσῃς με ταύτης τῆς ἀδολεσχίας, σήμανόν μοι τοῦτο, κύριέ μου, καὶ ἐνδυνάμωσόν με ἐν αὐτῇ· ὅτι δειλαίνει μου ὁ λογισμός, ὡς ὅτι οὐ δύναμαι τοῦτο κρατῆσαι. Διὰ τοῦτο παρακαλῶ, εἰ ὅλως συμφέρει μοι τὸ πρᾶγμα τοῦτο δήλωσόν μοι, δέσποτα· πιστεύω γὰρ ὅτι ὡς ἐξέρχεται ὁ λόγος ἐκ τοῦ στόματός σου, ποιεῖ ἐν τῇ καρδίᾳ μου δύναμιν.

Ἀπόκρισις

Τὸ κοπιάσαι τὴν καρδίαν σού ἐστι τὸ δέεσθαι τοῦ Θεοῦ διαπαντὸς μὴ ἐᾶσαι σε πλανηθῆναι ἢ πορευθῆναι τοῖς ἰδίοις σου θελήμασι· καὶ ἐκ τούτου ἔρχῃ εἰς τὸ διακρῖναι.

Περὶ δὲ τῆς ἀδιαλείπτου μνήμης, ἤτοι ἀδολεσχίας, βάλει ἀρχὴν καὶ μὴ φοβηθῇς· ἐνισχύει καὶ ἐνδυναμοῖ σε ὁ Θεός· ἀλλ' ἐπ' ἐλπίδι σπεῖρον, ἵνα θερίσῃς μὴ ἐκλυόμενος.

Εὐλογητὸς ὁ Θεὸς ὁ εὐλογῶν σε βαλεῖν ἀρχήν, ὃς καὶ τὴν δύναμιν ἐπιχορηγήσοι σοι τοῦ κρατῆσαι κατὰ τὸ μέτρον σου.

ΣΞΖ'

Ἐρώτησις τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

---

54. Εἶναι ἡ ἀρχὴ τῆς ἀδιάλειπτης μνείας τοῦ ὀνόματος τοῦ Χριστοῦ «Κύριε Ἰησοῦ Χριστέ, ἐλέησόν με».

μιαίνουν τὸν ἄνθρωπο· ἐὰν τὸ γνώριζε δὲν θὰ σὲ ἄφηνε νὰ εὐχαριστηθεῖς μ' αὐτά.

266

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Τὰ σπλάγχνα τῶν οἰκτιρμῶν ποὺ δείχνεις γιὰ μένα τὸν ἁμαρτωλό, μὲ κάνουν πάλι νὰ εἶμαι ἀναιδὴς καὶ νὰ σὲ ἐνοχλῶ. Φώτισέ με λοιπὸν πῶς νὰ κοπιάσει ἡ καρδιά μου, γιὰ νὰ ἔρθει σ' αὐτὴν ἡ διάκριση. Καὶ γιὰ τὴν ἀδιάκοπη μνήμη, ἐὰν μὲ ἀξιώσεις αὐτὴν τὴν ἀδολεσχία, δήλωσέ μου αὐτό, κύριέ μου, καὶ ἐνδυνάμωσέ με σ' αὐτή, διότι ὁ λογισμὸς μὲ δειλιάζει, ὥστε νὰ μὴ μπορῶ νὰ τὸ κρατήσω. Γι' αὐτὸ παρακαλῶ νὰ μοῦ δηλώσεις, δέσποτα, ἐὰν μὲ συμφέρει γενικὰ αὐτὸ τὸ πρᾶγμα· διότι πιστεύω ὅτι, μόλις θὰ βγεῖ ὁ λόγος ἀπὸ τὸ στόμα σου, θὰ δώσει δύναμη στὴν καρδιά μου.

Ἀπόκριση Βαρσανούφιου.

Τὸ νὰ κοπιάζει ἡ καρδιά σου σημαίνει νὰ παρακαλεῖς συνέχεια τὸ Θεὸ νὰ μὴ σὲ ἀφήσει νὰ πλανηθεῖς ἢ νὰ πορευθεῖς στὰ δικά σου θελήματα· καὶ ἀπὸ αὐτὸ ἔρχεσαι στὴ διάκριση.

Ὅσο γιὰ τὴν ἀδιάκοπη μνήμη[54], δηλαδὴ τὴν ἀδολεσχία, βάλε ἀρχὴ καὶ μὴ φοβηθεῖς· ὁ Θεὸς θὰ σὲ ἐνισχύσει καὶ θὰ σὲ ἐνδυναμώσει. Ἀλλὰ σπεῖρε μὲ τὴν ἐλπίδα, γιὰ νὰ θερίσεις χωρὶς νὰ χαυνωθεῖς.

Εὐλογητὸς ὁ Θεὸς ποὺ σὲ εὐλογεῖ νὰ βάλεις ἀρχή. Εἴθε νὰ σοῦ χορηγήσει τὴ δύναμη, ὥστε νὰ σταθεῖς σύμφωνα μὲ τὸ μέτρο σου.

267

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Ἐπειδὴ καὶ ἄλλοτέ μοι πολλάκις ἤρχετο θέρμη μικρὰ ἐπὶ ὀλίγας ἡμέρας, καὶ πάλιν ἀπήρχετο, καὶ ἄρτι δέ, ὡς μίαν ὥραν φυλάττω μετὰ προθυμίας τὴν μνήμην, καὶ μίαν μετὰ βίας, φοβεῖ με ὁ λογισμὸς μή, ὥσπερ καὶ τὸ πρὶν ἐπὶ ὀλίγας ἡμέρας, πάλιν ἐγκαταλείπει με ἡ μικρὰ θέρμη, καὶ τελείως ἀπολέσω μου τὴν ψυχήν. Διὸ δέομαι, πάτερ ἀγαθέ, μή με ἐγκαταλείπῃς, ἀλλὰ δήλωσόν μοι τί ἐστι τὸ φυγαδεῦον τὴν μνήμην ταύτην καὶ τὴν θέρμην. Αἴτησον δέ μοι καὶ φυλακὴν τῶν αἰσθήσεων· ὅτι πολλὰ δι' αὐτῶν αἰχμαλωτίζομαι καὶ μάλιστα ὅτι ἡ καρδία ἀφορμὴν θέλει· αὕτη γὰρ ἀφ' ἑαυτῆς ἀπὸ τοῦ σκοποῦ βρύει μνήμας ἐμπαθεῖς ἢ μωρὰς ἢ λογισμοὺς οὐκ ἐν καιρῷ αὐτῶν. Διὰ τοῦτο δέομαί σου, δυνατὲ ἐν Κυρίῳ πάτερ, χάρισαί μοι τῷ δούλῳ σου νῆψιν, ἵνα κατανοῶ τοὺς εἰσερχομένους ἐν αὐτῇ, καὶ πῶς ὀφείλω ποιεῖν μετ' αὐτῶν, ἵνα μὴ ἀποστήσωσί με ἀπὸ τῆς σῆς εὐλογίας. Ἔτι δὲ καὶ τοῦτο δήλωσόν μοι, ἐὰν ποιήσω πρᾶγμα ἢ εἴπω καὶ σκεπασθῶ ἀπὸ ἁμαρτίας ἐν αὐτῷ, φαινομένῳ μοι λέγω ἀπὸ τοῦ Θεοῦ, ἆρα ὀφείλω μετὰ τὴν ἔκβασιν εὐχαριστεῖν τῷ Θεῷ; Καὶ εἰ φέρει τοῦτο εἰς ἀγάπην Θεοῦ ἢ οὐ δεῖ ὅλως δέχεσθαι ὅτι ἐξέφυγον ἁμαρτίαν, ἀλλὰ μᾶλλον ἐρευνῆσαι σφάλμα ἐν τῷ γενομένῳ ἢ ἐν τοῖς λόγοις, καὶ οὕτως αἰτεῖν συγχώρησιν περὶ τούτου.

Ἀπόκρισις Βαρσανουφίου.

Κοπίασον ἐν πόνῳ καρδίας κτήσασθαι καὶ ὁ Θεὸς δίδωσί σοι αὐτὰς διηνεκῶς, τὴν θέρμην λέγω καὶ τὴν εὐχήν· ἡ γὰρ λήθη φυγαδεύει αὐτάς· αὕτη δὲ ἀπὸ ἀμελείας γεννᾶται.

Περὶ δὲ φυλακῆς τῶν αἰσθήσεων, πᾶν χάρισμα μετὰ πόνου καρδίας δίδοται, τὸ δὲ χάρισμα τῆς νήψεως οὐκ ἀφίησιν ἵνα εἰσ-

Ἐπειδὴ καὶ ἄλλοτε πολλὲς φορὲς μοῦ ἐρχόταν μικρὴ θέρμη γιὰ λίγες ἡμέρες καὶ πάλι ἀπομακρυνόταν, καὶ τώρα ἐπίσης μοῦ ἦρθε, τηρῶ τὴ μνήμη μὲ προθυμία μία ὥρα καὶ μὲ βία ἄλλη μία, ὁ λογισμος μὲ φοβίζει, μήπως, ὅπως ἀκριβῶς καὶ πρὶν ἐπὶ λίγες ἡμέρες, μὲ ἐγκαταλείψει πάλι ἡ μικρὴ θέρμη καὶ χάσω ἐντελῶς τ11ν ψυχή. Γι' αὐτό, παρακαλῶ, ἀγαθὲ πάτερ, νὰ μὴ μὲ ἐγκαταλείψεις, ἀλλὰ δήλωσέ μου τί εἶναι αὐτὸ ποὺ φυγαδεύει τὴ μνήμη καὶ τὴ θέρμη. Ἐπίσης ζήτησε γιὰ μένα καὶ φυλακὴ τῶν αἰσθήσεων, διότι αἰχμαλωτίζομαι πολὺ ἀπ' αὐτὲς καὶ μάλιστα ἐπειδὴ ἡ καρδιὰ θέλει ἀφορμή· διότι αὐτὴ ἀπὸ μόνη της ἄστοχα πηγάζει μνῆμες ἀγαθὲς ἢ μωρὲς ἢ λογισμοὺς ὄχι στὸν καιρό τους. Γι' αὐτὸ σὲ παρακαλῶ, δυνατὲ ἐν Κυρίω πάτερ, νὰ χαρίσεις σὲ μένα τὸν δοῦλο σου νήψη, γιὰ νὰ καταλαβαίνω τοὺ λογισμοὺς ποὺ εἰσέρχονται στὴν καρδιὰ καὶ πῶς πρέπει νὰ ἐνεργῶ πρὸς αὐτούς, γιὰ νὰ μὴ μὲ ἀπομακρύνουν ἀπὸ τὴν εὐλογία σου. Ἀκόμα, νὰ μοῦ δηλώσεις καὶ αὐτό, ἐὰν κάνω κάτι ἢ πῶ καὶ σκεπασθῶ ἀπὸ ἁμαρτία μ' αὐτό, ἐνῶ εἶναι φανερὸ στὸ Θεό, ἄραγε ὀφείλω μετὰ τὸ ἀποτέλεσμα νὰ εὐχαριστῶ τὸ Θεό; Καὶ ἐὰν αὐτὸ ὁδηγεῖ στὴν ἀγάπη τοῦ Θεοῦ ἢ δὲν πρέπει καθόλου νὰ δεχθῶ ὅτι ξέφυγα τὴν ἁμαρτία, ἀλλὰ νὰ ἐρευνήσω μᾶλλον τὸ σφάλμα σ' αὐτὸ ποὺ ἔγινε ἢ στοὺς λόγους, καὶ τότε νὰ ζητήσω συγχώρηση γι' αὐτό.

Ἀπόκριση Βαρσανουφίου.

Κοπίασε νὰ τὶς ἀποκτήσεις μὲ κόπο καρδιᾶς καὶ ὁ Θεὸς θὰ σοῦ τὶς δίνει παντοτινά, ἐννοῶ τὴ θέρμη καὶ τὴν προσευχή· διότι ἡ λησμοσύνη τὶς φυγαδεύει, καὶ αὐτὴ γεννιέται ἀπὸ ἀμέλεια.

Ὅσο γιὰ τὴ φρούρηση τῶν αἰσθήσεων, κάθε χάρισμα δίνεται μὲ κόπο καρδιᾶς, τὸ χάρισμα τῆς νήψεως ὅμως δὲν ἀφή-

έλθωσιν οἱ λογισμοί· ἐὰν δὲ καὶ εἰσέλθωσιν οὐκ ἀφίησιν αὐτοὺς ἵνα βλάψωσιν· ὁ Θεὸς δώῃ σοι τὸ νήφειν καὶ τὸ γρηγορεῖν. Ἐντολὴ γάρ ἐστι τὸ «ἐν παντὶ εὐχαριστεῖτε», μάλιστα δὲ ἐν τούτῳ, ὃ ἐδήλωσάς μοι.

Τὸ δὲ ἐρευνᾶν σφάλματα καὶ αἰτεῖν συγχώρησιν, πάνυ ὠφελεῖ.

ΣΞΗ'

***Αἴτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα.*

Δέομαί σου, πάτερ ἅγιε, αἴτησόν μοι δύναμιν παρὰ Θεοῦ, ὅτι, ὃ παραγγέλλω ἐμαυτῷ κατ' ἰδίαν, ἐρχόμενος μετὰ τῶν ἀδελφῶν, ἀποβάλλω αὐτὸ καὶ φοβοῦμαι μήπως συνεθισθῶ ἁμαρτάνων καὶ μεταμελούμενος μόνον καὶ οὐ διορθούμενος, καὶ οὕτως ἐναπομείνω ταῖς ἁμαρτίαις μου καὶ ἀποθάνω. Οἶδα γὰρ ὅτι συμφέρουσί μοι αἱ θλίψεις τῶν παθῶν, ὅτι τάχα συντρίβουσι τὴν σκληρότητα τῆς ψυχῆς μου· καὶ μὴ γένοιτό μοι τῷ ἄφρονι θελῆσαι ἄρτι ἄνεσιν ἀπ' αὐτῶν. Ἀλλὰ τοῦτο, πάτερ, παρακαλῶ διὰ τῶν πρεσβειῶν ὑμῶν, εἰ συμφέρει μοι, ἵνα μὴ συνεχῶς ἡττῶμαι καὶ ἵνα μὴ θλῖψιν ἔχῃ ἡ καρδία μου περὶ τούτου.

Ἀπόκρισις

Μηδεὶς λέγει τινὶ 'βαστάζω σου τὴν μέριμναν' καὶ ἀμεριμνεῖ, ἐπεὶ παραβάτης εὑρίσκεται· ἀλλ' ὀφείλει καὶ ὁ βασταζόμενος συνεισενεγκεῖν μικρὰν σπουδὴν καὶ ποιεῖν τὴν δύναμιν αὐτοῦ νηφόντως φυλάξαι τὰς ἐντολὰς τῶν πατέρων αὐτοῦ. Καὶ ἂν πέσῃ ἅπαξ, ἐγερθῇ πάλιν. Καὶ πιστεύω τῷ Θεῷ, κἂν συναρπαγῇ ἅπαξ καὶ σπουδάσῃ πάλιν, οὔτε συνή-

νει νὰ εἰσέλθουν οἱ λογισμοί· ἐὰν ὅμως εἰσέλθουν, δὲν τοὺς ἀφήνει νὰ βλάψουν. Εἴθε ὁ Θεὸς νὰ σοῦ δώσει νήψη καὶ ἐγρήγορση. Διότι εἶναι ἐντολή, «νὰ εὐχαριστεῖτε τὸ Θεὸ γιὰ τὸ κάθε τι»[55], καὶ μάλιστα γι' αὐτὸ ποὺ μοῦ ἐδήλωσες.

Τέλος τὸ νὰ ἐξετάζεις σφάλματα καὶ νὰ ζητᾶς συγχώρηση, ὠφελεῖ πολύ.

268

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Σὲ παρακαλῶ, ἅγιε πάτερ, νὰ ζητήσεις γιὰ μένα δύναμη ἀπὸ τὸ Θεό, διότι αὐτὸ ποὺ παραγγέλλω μόνος μου στὸν ἑαυτό μου, ὅταν συναντιέμαι μὲ τοὺς ἀδελφοὺς τὸ χάνω, καὶ φοβᾶμαι μήπως συνηθίσω νὰ ἁμαρτάνω καὶ νὰ μεταμελοῦμαι μόνο χωρὶς νὰ διορθώνομαι, καὶ μείνω ἔτσι μέσα στὶς ἁμαρτίες μου καὶ πεθάνω. Διότι γνωρίζω ὅτι μὲ συμφέρουν οἱ θλίψεις τῶν παθῶν, καθόσον συντρίβουν ἀμέσως τὴ σκληρότητα τῆς ψυχῆς μου, καὶ εἴθε νὰ μὴ συμβεῖ σὲ μένα τὸν ἄφρονα νὰ θελήσω πάλι ἄνεση ἀπὸ αὐτές. Ἀλλ' αὐτὸ παρακαλῶ, πάτερ, μὲ τὶς πρεσβεῖες σας, ἐὰν μὲ συμφέρει, νὰ μὴ νικιέμαι συνεχῶς καὶ νὰ μὴ ἔχει θλίψη ἡ καρδιά μου γι' αὐτό.

Ἀπόκριση

Κανένας δὲν λέγει σὲ κάποιον, 'βαστάζω τὴ μέριμνά σου' καὶ ἀμεριμνεῖ, διότι γίνεται παραβάτης· ἀλλ' ὀφείλει καὶ ὁ βασταζόμενος νὰ συνεισφέρει λίγη φροντίδα καὶ νὰ καταβάλλει ὅλη τὴ δύναμή του νὰ φυλάξει μὲ νηφαλιότητα τὶς ἐντολὲς τῶν πατέρων του. Καὶ ἂν πέσει μία φορά, νὰ σηκωθεῖ πάλι. Καὶ πιστεύω στὸ Θεό, ὅτι ἂν συναρπαγεῖ μία φορὰ καὶ φροντίσει πάλι, δὲ θὰ τοῦ γίνει οὔτε συνήθεια,

---

55. Α' Θεσ. 5,18.

θεια αὐτῷ γίνεται, οὔτε ἀμέλεια· ἀλλ' ὁ Θεὸς διὰ τάχους φέρει αὐτὸν εἰς τάξιν σπουδαίων καὶ οὐ λαμβάνει αὐτοῦ τὴν ψυχήν, ἕως οὗ ἐνέγκῃ αὐτὸν εἰς μέτρον ὑψηλόν, εἰς ἄνδρα τέλειον.

Μὴ οὖν χαυνωθῇς· ἀλλ' ὡς πρόκειταί σοι ὁ καιρὸς ἔργασαι, ταπεινώθητι, ὑπάκουσον, ὑποτάγηθι καὶ συνέρχεταί σοι ὁ Θεός, ὁ τοῖς ταπεινοῖς διδοὺς χάριν, ὑπερηφάνοις δὲ ἀντιτασσόμενος. Συνεχῶς λέγε, Ἰησοῦ βοήθει μοι καὶ βοηθεῖ.

Ὁ Θεὸς ἐλευθερώσοι σου τὴν ψυχὴν ἀπὸ τῶν παθῶν τῆς ἀτιμίας, τέκνον.

ΣΞΘ'

***Ἐρώτησις** τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν.*

Προσκυνῶ σε, πάτερ εὔσπλαγχνε, ἰατρέ, τῆς ἀσθενούσης μου ψυχῆς· οὐαί μοι τί ὑπέδειξάς μοι καὶ εἰς τί εἵλκυσάς με καὶ ποῦ εἰμι· ὡς δέδεμαι διὰ τὴν κακὴν συνήθειαν, καὶ εἴ περ ἀπολυθῶ μικρόν, πάλιν ἀνακάμπτω διαδοῦναι καὶ λαβεῖν. Καὶ εἰ μὴ ὅτι αἰσχύνομαι τὴν ἀγαθότητα τοῦ Θεοῦ καὶ τὰ σὰ σπλάγχνα, ὅτι οἶδα ἀπὸ ποίων κόπων ἤγαγέ με ὑπὸ τοὺς πόδας ὑμῶν, εἰς ἀπόγνωσιν εἶχον ἐλθεῖν· ὅτε γὰρ σκεπάζομαι διὰ τῶν εὐχῶν ὑμῶν, παρέρχομαι μετ' εἰρήνης· ὅτε δὲ ἀπογυμνωθῶ μικρόν, ἵνα δειχθῇ ἡ προαίρεσίς μου, εὐθέως ἡττῶμαι. Ὡς κάθημαι εἰς τὸ κελλίον ἀπὸ πρωΐ, φθάνει λοιπὸν ἀπόκρισις καὶ ἐξέρχομαι καὶ μετὰ τὸ ποιῆσαι αὐτήν, οὐκ ἔτι εὑρίσκω ἀνακάμψαι πάλιν, ἀλλὰ συρράπτει μοι προφάσεις ἀπὸ προφάσεων, δυναμένας καὶ χωρὶς ἐμοῦ γενέσθαι, ἕως οὗ τραυματίσῃ με, καὶ οὕτως ἔρχομαι ὀψὲ εἰς τὸ κελλίον μου μετὰ ἀηδίας πολλῆς καὶ σκοτώσεως καὶ ἀκηδίας, μὴ εἰδὼς τί ποιήσω. Διὰ τοῦτο, πάτερ ἅγιε, ἰδοὺ ἐνώπιον τῆς καρδίας σού εἰμι, τῆς πάντα βλεπούσης· ποίησον μετ' ἐμοῦ κατὰ τὰ σπλάγχνα σου καὶ

οὔτε ἀμέλεια, ἀλλὰ ὁ Θεὸς θὰ τὸν φέρει γρήγορα στὴν τάξη τῶν ζηλωτῶν καὶ δὲν θὰ πάρει τὴν ψυχή του, ὥς ποὺ νὰ τὸν ὁδηγήσει σὲ ὑψηλὸ μέτρο, σὲ τέλειο ἄνδρα.

Μὴ χαυνωθεῖς λοιπόν, ἀλλὰ ὅταν σοῦ παρουσιάζεται εὐκαιρία νὰ ἐργάζεσαι, νὰ ταπεινώνεσαι, νὰ ὑπακούεις, νὰ ὑποτάσσεσαι καὶ θὰ ἔρθει κοντά σου ὁ Θεός, ποὺ δίνει χάρη στοὺς ταπεινοὺς καὶ ἀντιτάσσεται στοὺς ὑπερήφανους. Λέγε συνέχεια, "Ἰησοῦ, βοήθησέ με', καὶ θὰ σὲ βοηθήσει.

Εἴθε ὁ Θεὸς νὰ ἐλευθερώσει τὴν ψυχή σου ἀπὸ τὰ πάθη τῆς ἀτιμίας, τέκνο.

269

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα.

Σὲ προσκυνῶ, εὔσπλαγχνε πάτερ καὶ γιατρέ, τῆς ἄρρωστης ψυχῆς μου· ἀλλοίμονό μου τί μοῦ ὑπέδειξες καὶ σὲ τί μὲ τράβηξες. Καὶ ποῦ εἶμαι· διότι εἶμαι δεμένος ἐξαιτίας τῆς κακῆς συνήθειας, καὶ ἐὰν ἀπολυθῶ λίγο, πάλι ξαναγυρίζω σὲ δοσοληψίες. Καὶ ἂν δὲν ντρεπόμουν τὴν ἀγαθότητα τοῦ Θεοῦ καὶ τὴν εὐσπλαγχνία σου, διότι γνωρίζω μὲ ποιούς κόπους μὲ ὁδήγησε στὰ πόδια σας, θὰ εἶχα φθάσει σὲ ἀπόγνωση· διότι, ὅταν σκεπάζομαι μὲ τὶς εὐχές σας, ζῶ μὲ εἰρήνη· ὅταν ὅμως ἀπογυμνωθῶ λίγο, γιὰ νὰ φανεῖ ἡ προαίρεσή μου, ἀμέσως νικιέμαι. Ἐνῶ κάθομαι στὸ κελλὶ ἀπὸ τὸ πρωὶ ἔρχεται μία ὑπόθεση καὶ βγαίνω ἔξω καὶ μόλις τὴν ἐκτελέσω, δὲν μπορῶ πλέον νὰ ἐπιστρέψω πάλι, ἀλλὰ μοῦ δημιουργεῖ προφάσεις ἐπάνω σὲ προφάσεις, ποὺ μποροῦσαν νὰ γίνουν καὶ χωρὶς ἐμένα, ὥς ποὺ νὰ μὲ τραυματίσουν, καὶ ἔτσι ἐπιστρέφω τὸ βράδυ στὸ κελλί μου μὲ πολλὴ ἀηδία καὶ σκότωση καὶ ἀκηδία, χωρὶς νὰ γνωρίζω τί νὰ κάνω. Γι' αὐτό, ἅγιε πάτερ, νά, εἶμαι ἐνώπιον τῆς καρδιᾶς σου ποὺ τὰ βλέπει ὅλα· ἐνέργησε σὲ μένα σύμφωνα μὲ τὴν εὐσπλαγχνία σου καὶ ὅπως

ὡς θέλεις καὶ οἶδας. Ἐγὼ γὰρ περὶ σοῦ οὐκ οἶδα τί εἴπω, ἀλλὰ συγχώρησόν μοι διὰ τὸν Θεόν.

Ἀπόκρισις

Αδελφέ, οὐκ ἔνι ἀπὸ τούτων ἀπογνῶναι σεαυτόν, οὐδὲ γὰρ ὁ κυβερνήτης, κρουομένου τοῦ πλοίου ὑπὸ τῶν κυμάτων, ἀπογινώσκει τῆς ἑαυτοῦ σωτηρίας, ἀλλὰ μᾶλλον κυβερνᾷ, ἕως ἂν ἐνέγκῃ τὸ πλοῖον ἐπὶ τὸν λιμένα. Οὕτω καὶ σύ, εὑρίσκων ὅτι ᾐχμαλωτίσθης καὶ ἐρεμβάσθης ἐν πράγματι, ἀνακάλεσαι σεαυτὸν εἰς τὴν ἀρχὴν τῆς ὁδοῦ, λέγων μετὰ τοῦ προφήτου· «καὶ εἶπα, νῦν ἠρξάμην» καὶ τὰ λοιπά.

Δοκίμασον τὰ πράγματα, εἰ διὰ τῶν ἀδελφῶν δύνανται γενέσθαι ἢ διὰ σοῦ· καὶ ἰδοὺ οὐκ ἀπέστης τῆς ὁδοῦ. Καὶ γὰρ ἡ κατὰ Θεὸν φροντὶς ἐργασία ἐστὶ πνευματική, τελουμένη καὶ ἀπαρτιζομένη εἰς σωτηρίαν ψυχῆς. Καὶ ποίησον κατὰ τὴν δύναμίν σου, ἵνα μὴ τὰ εὐτελῆ πράγματα ἐκβάλῃ σε ἀκαίρως ἀπὸ τοῦ κελλίου σου· ἔστι γὰρ δαιμόνων τέχνη.

Πρόσεχε σεαυτῷ συνετῶς καὶ βοηθεῖ σοι ὁ Θεός, εὐχαῖς ἁγίων. Ἀμήν.

ΣΟ'

Αἴτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν τοῦ βαστάσαι τὰς ἁμαρτίας αὐτοῦ.*

Ἀπόκρισις

Αδελφέ, εἰ καὶ ὑπὲρ ἐμὲ αἰτεῖς με πρᾶγμα, ἀλλὰ δεικνύω σοι τὰ μέτρα τῆς ἀγάπης, ὅτι ἀναγκάζει ἑαυτὴν καὶ εἰς τὰ ὑπέρμετρα.

Ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον καὶ ἀναδέχομαι καὶ βαστάζω, ἀλλ' ἐπὶ τῷ ὅρῳ τούτῳ, ἵνα σὺ βαστάζῃς τὸ φυλάξεσθαί

θέλεις καὶ ὅπως γνωρίζεις. Διότι ἐγὼ δὲν γνωρίζω τί νὰ πῶ γιὰ σένα, ἀλλὰ συγχώρεσέ με γιὰ τὸ Θεό.

Ἀπόκριση

Ἀδελφέ, δὲν εἶναι δυνατὸ νὰ γνωρίσεις τὸν ἑαυτό σου ἀπὸ αὐτά, διότι οὔτε ὁ κυβερνήτης τοῦ πλοίου, ποὺ χτυπιέται ἀπὸ τὰ κύματα, γνωρίζει τὴ σωτηρία του, ἀλλὰ κυβερνᾶ μᾶλλον τὸ πλοῖο μέχρι ποὺ νὰ τὸ ὁδηγήσει στὸ λιμάνι. Ἔτσι καὶ σύ, ὅταν βλέπεις ὅτι αἰχμαλωτίσθηκες καὶ ἐπιδόθηκες σὲ κάτι, ἀνακάλεσε τὸν ἑαυτό σου στὴν ἀρχὴ τοῦ δρόμου, λέγοντας μαζὶ μὲ τὸν προφήτη· «καὶ εἶπα, τώρα ἄρχισα»[56], καὶ τὰ λοιπά.

Ἐξέτασε τὰ πράγματα, ἐὰν μποροῦν νὰ γίνουν μὲ τοὺς ἀδελφοὺς ἢ μὲ σένα· καὶ νά, δὲν ἀπομακρύνθηκες ἀπὸ τὸ δρόμο. Διότι καὶ ἡ σύμφωνα μὲ τὸ Θεὸ φροντίδα εἶναι πνευματικὴ ἐργασία, ποὺ τελεῖται καὶ πραγματοποιεῖται γιὰ σωτηρία ψυχῆς. Καὶ ἐνέργησε σύμφωνα μὲ τὴ δύναμή σου, γιὰ νὰ μὴ σὲ βγάλουν ἄκαιρα ἀπὸ τὸ κελλί σου τὰ εὐτελῆ πράγματα· διότι εἶναι τέχνη δαιμόνων.

Πρόσεχε τὸν ἑαυτό σου μὲ σύνεση καὶ ὁ Θεὸς θὰ σὲ βοηθήσει μὲ τὶς προσευχὲς τῶν ἁγίων. Γένοιτο.

270

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο, γιὰ νὰ βαστάξει τὶς ἁμαρτίες του.

Ἀδελφέ, ἂν καὶ μοῦ ζητᾶς πρᾶγμα ποὺ ξεπερνᾶ τὴ δύναμή μου, ὅμως σοῦ δείχνω τὰ μέτρα τῆς ἀγάπης, ποὺ ἀναγκάζει τὸν ἑαυτό της καὶ στὰ ὑπέρμετρα.

Νά, θαύμασα τὸ πρόσωπό σου καὶ δέχομαι καὶ τὶς βαστάζω, ἀλλὰ μ' αὐτὸν τὸν ὅρο, νὰ βαστάξεις καὶ σὺ τὴ φύλαξη τῶν

---

56. Ψαλμ. 76,11.

μου τοὺς λόγους καὶ τὰς ἐντολάς μου· εἰσὶ γὰρ σωτηριώδεις καὶ ζήσῃς ἀνεπαισχύντως.

ΣΟΑ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα,*

περὶ ὧν εἶπεν ἐντολῶν καὶ αἴτησις τοῦ δυναμωθῆναι φυλάξαι αὐτάς.

Ἀπόκρισις

Ε ἐνδυναμώσας τοὺς πατέρας ἡμῶν, ἐνδυναμώσοι τὴν σὴν ἀγάπην, ἀδελφέ, καὶ δώῃ σοι σύνεσιν πνευματικὴν συνιέναι ἐν πᾶσι τοῖς ἔργοις σου. Σὺ οὖν φύλαξαι ἀπὸ ἀργολογίας τὴν γλῶτταν, καὶ ἀπὸ ἡδονῆς τὴν κοιλίαν, καὶ ἀπὸ παροξυσμῶν τὸν πλησίον. Τὸ ἀπαρρησίαστον, τὸ ἀψήφιστον, τὴν μετὰ πάντων ἀγάπην, καὶ τὸ πάντοτε ἔχειν τὸν Θεὸν ἐν τῷ νῷ, μνημονεύων πότε ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ. Ταῦτα ἔχε ἐν σεαυτῷ καὶ ποιεῖ ἡ γῆ σου ἀνὰ ἑκατὸν καρποὺς τῷ Θεῷ.

Ὧι ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΣΟΒ'

Ἐρώτησις

Τί ἐστι, πάτερ, τὸ ἀψήφιστον;

Ἀπόκρισις

Αδελφέ, τὸ ἀψήφιστόν ἐστι, τὸ μὴ ἰσῶσαι ἑαυτόν τινι, καὶ τὸ μὴ εἰπεῖν περὶ καλοῦ ἔργου, ὅτι 'κἀγὼ τοῦτο ἐποίησα'.

ΣΟΓ'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μέγαν Γέροντα,

αἴτησις ἐπὶ ταῖς παραβάσεσι τῶν τεθεισῶν αὐτῷ ἐντο-

λόγων καὶ τῶν ἐντολῶν μου· διότι εἶναι σωτηριώδεις καὶ μ' αὐτοὺς θὰ ζήσεις χωρὶς ντροπή.

271

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα,

για τὶς ἐντολὲς ποὺ εἶπε, καὶ παράκληση νὰ ἐνδυναμωθεῖ νὰ τὶς φυλάξει.

Ἀπόκριση

Αὐτὸς ποὺ ἐνδυνάμωσε τοὺς πατέρες μας, εἴθε νὰ ἐνδυναμώσει καὶ τὴ δική σου ἀγάπη, ἀδελφέ, καὶ εἴθε νὰ σοῦ δώσει πνευματικὴ σύνεση, ὥστε νὰ δείχνεις σύνεση σὲ ὅλα τὰ ἔργα σου. Ἐσὺ λοιπὸν φύλαξε τὴ γλώσσα ἀπὸ ἀργολογία, τὴν κοιλιὰ ἀπὸ ἡδονὴ καὶ τὸν πλησίον ἀπὸ παροργισμούς. Ἐπίσης τὸ ἀπαρησίαστο, τὸ ἀψήφιστο, τὴν ἀγάπη σὲ ὅλους, καὶ τὸ νὰ ἔχεις πάντα τὸ Θεὸ στὸ νοῦ, σκεπτόμενος πότε θὰ δῶ τὸ πρόσωπο τοῦ Θεοῦ. Αὐτὰ νὰ ἔχεις στὸν ἑαυτό σου καὶ ἡ γῆ σου θὰ κάνει ἀνὰ ἑκατὸ καρποὺς γιὰ τὸ Θεό.

Σ' αὐτὸν ἀνήκει ἡ δόξα στοὺς αἰῶνες. Γένοιτο.

272

Ἐρώτηση

Πάτερ, τί εἶναι τὸ ἀψήφιστο;

Ἀδελφέ, τὸ ἀψήφιστο εἶναι, τὸ νὰ μὴ ἐξισώσεις τὸν ἑαυτό σου μὲ κάποιον, καὶ τὸ νὰ μὴ πεῖς γιὰ καλὸ ἔργο, ὅτι 'καὶ ἐγὼ τὸ ἔκανα αὐτό'.

273

Παράκληση τοῦ ἰδίου πρὸς τὸν ἴδιο μεγάλο Γέροντα,

γιὰ τὶς παραβάσεις τῶν ἐντολῶν ποὺ τοῦ ἀνατέθηκαν, καὶ

λῶν, συνεργίας τε εἰς μετάνοιαν· καὶ πῶς δεῖ μετανοεῖν, καὶ εἰ συμβῇ παράβασις, εἰ ἀκυροῦται ἡ διαθήκη.

Ἀπόκρισις

Ἐν ὀνόματι Θεοῦ περὶ τῆς αἰτήσεώς σου, ἔσται σοι ὡς ᾔτησας. Λοιπὸν φύλαξαι μὴ ὑψηλοφρονῆσαι, ἵνα μὴ ἀπολέσῃς ὅλα· καὶ ὅταν παραβῇς ἐντολὴν δράμε εἰς τὴν μετάνοιαν· καὶ μὴ ὡς ἔχων μάλαγμα τῷ τραύματι καταφρονήσῃς, ἵνα μὴ πάλιν εἰς χείρονα ἔλθῃς. Ἔχοντός σου τὴν χεῖρα μετ' ἐμοῦ, στήκει βεβαίως ἡ πρὸς σὲ ἀπ' ἐμοῦ διαθήκη· εἰ δὲ μή γε, πῶς ὁ Θεὸς ἐλεήσει σε, τοῦ ἀκοῦσαι καὶ φυλάξαι ἐν Χριστῷ; Ἀμήν.

ΣΟΔ'

***Αἴτησις** εὐχῆς τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.*

τοῦ μὴ ἀποχωρισθῆναι τῆς σκέπης αὐτοῦ, μηδὲ ἐν τῷ μέλλοντι αἰῶνι.

Ἀπόκρισις

Εἰ ἐνόεις, τέκνον, τὰς πρὸς σὲ παρ' ἐμοῦ ῥήσεις, μαθεῖν εἶχες, ὅτι ἀρραβῶνά σοι δέδωκα εἰς σωτηρίαν τῆς ψυχῆς σου. Καὶ μὴ οἴει με παραλογίσασθαι, μήτε χωρίσαι σε τῶν σωζομένων γνησίων μου τέκνων καὶ τῆς τοῦ Θεοῦ σκέπης· ἀλλὰ καὶ σὺ σπούδασον μὴ ἀποχωρισθῆναι τῆς τοιαύτης ζωῆς. Ὁ γὰρ Ἀπόστολος οὐκ ἀπεχώρισέ τινα, ἀλλ' εἶπεν· «εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω». Μὴ γένοιτο δὲ ἵνα καὶ εἰς σὲ πληρωθῇ τοῦτο. Ἀλλ' ἐρρέθη σοι πρὸς ἀσφάλειαν τοῦ προσέχειν σεαυτῷ σπουδάζοντι μὴ ἐκπεσεῖν τῆς προσδοκίας ταύτης καὶ ἐλπίδος.

Ἐνδυναμώθητι οὖν ἐν Κυρίῳ, τῷ εἰπόντι τοῖς ἑαυτοῦ μαθηταῖς λαβεῖν δύναμιν ἐξ ὕψους.

---

57. Α' Κορ. 7,15.

βοήθεια γιὰ μετάνοια. Ἐπίσης πῶς πρέπει νὰ μετανοεῖ, καὶ σὲ περίπτωση ποὺ συμβεῖ παράβαση, ἐὰν ἀκυρώνεται ἡ διαθήκη.

Ἀπόκριση

Στὸ ὄνομα τοῦ Θεοῦ γιὰ τὴν παράκλησή σου, ἂς γίνει ὅπως ζήτησες. Πρόσεχε λοιπον νὰ μὴ ὑψηλοφρονήσεις, γιὰ νὰ μὴ τὰ χάσεις ὅλα· καὶ ὅταν παραβεῖς ἐντολή, τρέξε γιὰ μετάνοια· καὶ νὰ μὴ δείξεις περιφρόνηση σὰν νὰ ἔχεις μάλαγμα στὸ τραῦμα, γιὰ νὰ μὴ φθάσεις πάλι σὲ χειρότερα. Ἂν ἔχεις τὸ χέρι πιασμένο ἀπὸ τὸ δικό μου, ἰσχύει σταθερὰ ἡ διαθήκη μου μαζί σου. Ἐὰν ὅμως ὄχι, πῶς θὰ σὲ ἐλεήσει ὁ Θεός, ὥστε νὰ τ' ἀκούσεις καὶ νὰ τὰ φυλάξεις ἐν Χριστῷ; Γένοιτο.

274

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Παράκληση προσευχῆς, ὥστε νὰ μὴ ἀποχωρισθεῖ ἀπὸ τὴν προστασία αὐτοῦ, οὔτε στὸν μέλλοντα αἰώνα.

Ἀπόκριση

Ἐὰν καταλάβαινες, τέκνο, τὰ λόγια μου πρὸς ἐσένα, θὰ μάθαινες ὅτι σοῦ εἶχα δώσει ὑπόσχεση γιὰ τὴ σωτηρία τῆς ψυχῆς σου. Καὶ μὴ νομίζεις ὅτι ἔφθασα σὲ παραλογισμό, οὔτε ὅτι ἤθελα νὰ σὲ χωρίσω ἀπὸ τὰ γνήσια τέκνα μου ποὺ σώζονται καὶ ἀπὸ τὴν προστασία τοῦ Θεοῦ. Ἀλλὰ φρόντισε καὶ ἐσὺ νὰ μὴ ἀποχωρισθεῖς ἀπὸ αὐτὴ τὴ ζωή. Διότι ὁ Ἀπόστολος δὲν ἀποχώρισε κανένα, ἀλλ' εἶπε· «ἐὰν ὁ ἄπιστος χωρίζεται, ἂς χωρίζεται»[57]· εἴθε νὰ μὴ συμβεῖ νὰ ἐκπληρωθεῖ καὶ σὲ σένα αὐτό. Ἀλλὰ σοῦ εἰπώθηκε γιὰ ἀσφάλεια, ὥστε νὰ προσέχεις τὸν ἑαυτό σου, φορντίζοντας νὰ μὴ ἐκπέσεις ἀπὸ αὐτὴν τὴν προσδοκία καὶ ἐλπίδα.

Ἐνδυναμώσου λοιπὸν μὲ τὴ βοήθεια τοῦ Κυρίου, ποὺ εἶπε στοὺς μαθητές του, ὅτι θὰ πάρουν δύναμη ἀπὸ τὸν οὐρανό.

ΣΟΕ'

Ἐρώτησις *τοῦ αὐτοῦ πρὸς τὸν ἄλλον γέροντα.*

Ἐάν τις λογίζηται ἑαυτὸν ὑποκάτω πάσης κτίσεως, μὴ συμφωνῇ δὲ καὶ ἡ πρᾶξις, ἄρα τί ἐστι;

Ἀπόκρισις

Ὅσον οὐχ εὑρίσκεις τὴν πρᾶξιν ἰσολογοῦσαν τῷ συνειδότι, οὐδὲ ἐκείνη ἀληθινή ἐστιν, ἀλλὰ χλεύασμα δαιμόνων.

ΣΟS'

Τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

Οὐχ ὅτι, πάτερ, ἔχω ἐμαυτὸν ὅτι εἰμὶ ὑποκάτω πάσης κτίσεως· ἀλλ' ὅτι ὅταν ἐρευνῶ τὴν συνείδησιν, εὑρίσκω ἐμαυτὸν ὑπεύθυνον τοῦ ὀφείλειν εἶναι ὑποκάτω πάσης κτίσεως, ἄρα οὖν καὶ τοῦτο χλεύη δαιμόνων ἐστίν;

Ἀπόκρισις

Ἄρτι, ἀδελφέ, μικρὸν ἔβαλες ὀρθοποδεῖν· αὕτη γάρ ἐστιν ἡ ἀλήθεια. Ὁ Θεὸς δὲ ἐνέγκοι σε εἰς τὸ μέτρον ἐκεῖνο τοῦ ἔχειν σεαυτὸν ὑποκάτω πάσης κτίσεως.

Ἔρρωσο ἐν Κυρίῳ.

ΣΟΖ'

Ἐρώτησις *τοῦ αὐτοῦ.*

Ποία ὁδὸς σώζει, ἡ διὰ τῶν κόπων ἢ ἡ διὰ ταπεινώσεως; Καὶ περὶ λήθης.

275

Ἐρώτηση τοῦ ἰδίου πρὸς τὸν ἄλλο γέροντα.

Ἐὰν κάποιος θεωρεῖ τὸν ἑαυτό του κάτω ἀπὸ κάθε κτίση, ἀλλὰ δὲν συμφωνεῖ μ' αὐτὸ καὶ ἡ πράξη, ἄραγε τί γίνεται;

Ἀπόκριση

Ὅσο δὲν βρίσκεις τὴν πράξη σύμφωνη μὲ τὴ συνείδηση οὔτε ἐκείνη εἶναι ἀληθινή, ἀλλὰ χλεύασμα τῶν δαιμόνων.

276

Τοῦ ἰδίου πρὸς τὸν ἴδιο.

Πάτερ, δὲν θεωρῶ τὸν ἑαυτό μου ὅτι εἶμαι κάτω ἀπὸ κάθε κτίση, ἀλλά, ὅταν ἐρευνῶ τὴ συνείδησή μου, βρίσκω τὸν ἑαυτό μου ὑπεύθυνο νὰ ὀφείλει νὰ εἶναι κάτω ἀπὸ κάθε κτίση· ἄραγε λοιπὸν καὶ αὐτὸ εἶναι χλεύασμα δαιμόνων;

Ἀπόκριση

Τώρα, ἀδελφέ, ἄρχισες νὰ ὀρθοποδεῖς λίγο· διότι αὐτὴ εἶναι ἡ ἀλήθεια. Εἴθε ὁ Θεὸς νὰ σὲ ὁδηγήσει στὸ μέτρο ἐκεῖνο, ὥστε νὰ ἔχεις τὸν ἑαυτό σου κάτω ἀπὸ κάθε κτίση.

Ἐνδυναμώσου μὲ τὴ βοήθεια τοῦ Κυρίου.

277

Ἐρώτηση τοῦ ἰδίου.

Ποιά ὁδὸς σώζει, ἡ ὁδὸς μὲ τοὺς κόπους ἢ μὲ τὴν ταπείνωση; Καὶ περὶ λησμοσύνης.

Ἀπόκρισις *Ἰωάννου.*

Ο κόπος ὁ ἀληθινός, ἀδελφέ, οὐκ ἔστιν ἄνευ ταπεινώσεως· ὁ γὰρ καθ' ἑαυτὸν κόπος, εἰς μάτην ἐστίν. Φησι γάρ, «ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου». Ὁ οὖν ἔχων ταῦτα φθάνει διὰ τάχους. Καὶ ὁ ἔχων ταπείνωσιν μετ' ἐξουδενώσεως, καὶ αὐτὸς τὸ ὅμοιον ἔχει· ἡ ἐξουδένωσις γὰρ τὸν τόπον ἐπέχει τοῦ κόπου. Ὁ δὲ τὴν ταπείνωσιν καθ' ἑαυτὴν μόνην ἔχων, εἰσέρχεται μέν, βραδυτέρως δέ. Εἴ τις δὲ θελήσοι κρατῆσαι τὴν ἀληθινὴν ταπείνωσιν, μὴ ψηφίσῃ ἑαυτὸν ἔν τινι· αὕτη γάρ ἐστιν ἡ ἀληθινὴ ταπείνωσις.

Ὁ δεχόμενος τὸ πῦρ, ὃ ἦλθε βαλεῖν ὁ Κύριος ἐπὶ τὴν γῆν, λήθην καὶ αἰχμαλωσίαν οὐκ οἶδεν, ἔχων πάντοτε τὴν αἴσθησιν τοῦ πυρός. Ἀπὸ δὲ τοῦ αἰσθητοῦ πυρὸς λάβε τὸ ὑπόδειγμα· ἐὰν γὰρ ῥέγχῃ ὁ ἄνθρωπος εἰς τὸ ἀποθανεῖν καὶ προσεγγίσῃ αὐτῷ πῦρ, εὐθέως αἰσθάνεται τοῦ πόνου. Καὶ εἰς οἱονδήποτε πρᾶγμα, ἐὰν αἰχμαλωτισθῇ ἄνθρωπος, πέσῃ δὲ ἐπ' αὐτὸν ἄνθραξ πυρός, οὐδὲ στιγμὴν μένει ἐν τῇ αἰχμαλωσίᾳ.

Τὸ πῦρ, ἀδελφέ, οὐ σβέννηται, ἐπεὶ οὐδὲ πῦρ ἐστι. Λοιπόν, εἰ ἀπαλλαγῆναι θέλεις τῆς λήθης καὶ τῆς αἰχμαλωσίας, ἄλλως οὐ δύνασαι, ἐὰν μὴ κτήσῃ ἐν σεαυτῷ τὸ πνευματικὸν πῦρ· ἀπὸ γὰρ τῆς τούτου θερμότητος ἐκεῖνα ἀναλίσκονται. Κτᾶται δέ τις τοῦτο τὸ πῦρ, τῷ κατὰ Θεὸν πόθῳ. Ἀδελφέ, ἐὰν μὴ εἰς πάντα πονέσῃ ἡ καρδία σου ζητῆσαι τὸν Κύριον, προκόψαι οὐ δύνασαι. Ἐὰν σχολάσῃς γὰρ ἐν τούτοις ἔρχῃ εἰς ταῦτα· φησὶ γάρ, «σχολάσατε καὶ γνῶτε» καὶ τὰ λοιπά.

Δώῃ σοι Κύριος συνιέναι ταῦτα καὶ πονεῖν ἐν αὐτοῖς.

Απόκριση Ἰωάννη.

